§ III. *Ἐγένετο πρώην φορὰ δισσεβῶν, τοὺς Καισαρέων περιοίκους λιζομένη, καὶ μαχομένη πρὸς δόγμα θεοφιλὲς ἐκ δυοῖν βασιλέων, τοῦ μὲν ἐν οὐρανῷ προελθόν, τοῦ δὲ κατὰ γῆν ὁρισθέν*(1) [2] *Θιομένης τοίνιν τῆς ἐναγοῦς ἐκείνης καὶ περιβοήτου συστάσεως, ἔμελε μὲν ὅπως σωφρονισθείη τῷ κορυφαίῳ τῶν ἱερέων*(2), *ἦν δὲ τοῖς πρότερον ἡγεμόσιν*(3) *ἐπιμελές, οὐκ ἠμελεῖτο*(4) *δὲ οὐδὲ τῷ τῶν φιλῶν ἀρχιγέτῃ*(5). [3] *Καὶ δὴ*(6) *πόλεμος ἦν πρᾶγμα βασιλεῖ μὲν οὐκ ἀρεστόν — ἐπὶ γὰρ ἐπιχόοις συνεκροτεῖτο —, τὴν δὲ τῶν ἀνοσίων ἑταιρείαν εὐφραῖνον, οὐχ ὅτι νίκης ἔλπίδα παρεῖχεν — ἔνηφον γάρ, οἶμαι, τοσοῦτον ὅσον μὴ προσδοκῆσαι νικᾶν —, σεμνολογεῖσθαι δὲ προξενοῦν τοῖς* [fol. 29] *ἀλαζόσι. [4] Τοιαύταις . . . . . ἐδεήθη*(7) *βασιλεὺς εἰς ἅλωσιν ἡμετέραν πολέμου, καὶ τῶν ἄλλων ψυλαῖς ἐντολαῖς πειθομένων ἡμῶν γ' ἔτεκεν ὅπλα κινεῖται. [5]*

(voy. six mots plus haut), corrigée sur-le-champ par le copiste lui-même. — Le passage auquel il est fait ici allusion se trouve chez Platon, *Republique*, II, p. 375 C, *πόθεν ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος εὑρήσουσιν. ἐναντία γὰρ ταῦτα θυμοειδεῖ φύσει.*

9. Cf. *Mimes* (discours inédit), fol. 158, *ἑκάτερον γὰρ ἄμφω* (c.-à.-d. *τοὺς μαγείρους καὶ τοὺς μίμους*) *ποιεῖν ἡ τέχνη παρακελεύεται.*

10. Euripide, *Oreste*, 735, *κοινὰ γὰρ τὰ τῶν φίλων.* Cf. Térence, *Adelphes*, V, 3, 17, *nam vetus quidem hoc verbum, amicorum inter se communia esse omnia*, et Suidas, s. v., *κοινὰ τὰ τῶν φίλων . . . κέχρηται τῇ παροιμίᾳ Μένανδρος Ἀδελφοῖς.* Cf. encore Zénobios, IV, 79.

§ III.] 1. La sédition à laquelle il est fait allusion dans ce passage paraît être un reste et comme un épisode attardé de la grande révolte des Samaritains, étouffée, dans son ensemble, en l'an 529, par les généraux Théodore et Jean. *Οἱ κατὰ Παλαιστίνην Σαμαρεῖται, τὸ ἔθνος ἅπαν, κατὰ τῶν Χριστιανῶν στρατεύσαντες, πολλὰ ἀθέμιτα διεπράξαντο κτλ.* Cyrille de Scythopolis, *Vie de St Sabas*, § 70, dans les *Ecclesiae Graecae monumenta* de Cotelier, t. III, p. 220 et suiv. — Voy. l'indication des autres sources chez Ed. de Muralt, *Chronographie byzantine*).

2. Il parle sans doute du patriarche de Jérusalem. Cf. plus bas, § XII, 1, *ἁπάντων ἱερέων ὁ κράτιστος.*

3. = *Ducibus Palaestinae qui fuerant ante Aratium.*

4. *οὐσ.* ‖ *μελεῖτο* Ms. Cf. *Mimes* (discours inédit), fol. 157 (en tête), *οἵων' ἂν νομοθέταις ἠμελήθη Ῥωμαίων.*

5. *ὁ τ. φ. ἀρχηγέτης*, le gouverneur civil de la province. Cf. *Novelle* 30, chap. 5, *καλείσθω τε ὁ ταύτης ἡγούμενος τῇ πατρίῳ φωνῇ* Procos. Justinianeus Cappadociae, *ὥστε καὶ τὸ τῆς ἀρχῆς ἔχειν ἴδιον καὶ τὸν ἀρχηγέτην συνονομάζειν τῷ πράγματι.*

6. *καὶ .ὴ* Ms. (mangeure de ver).

7. *Τοιαύτας, ἐδεήθη* (sans trace de lacune) Ms.

Πῶς οὖν τοὺς οὕτω τετυφωμένους ἐπαίδευσας τὰ τῶν ἀρχομένων φρονεῖν; Ἤδεις ὡς φάλαγγες ὁπλιτῶν καὶ ψιλὸς ὅμιλος ἱππέων τε τάγμα καὶ βία χειρῶν(8) *καὶ ὅλως ἡ*(9) *τοῦ πολέμου φύσις σωμάτων μὲν ἴσως, γνώμης δὲ κρατεῖν οὐ φιλεῖ, μᾶλλον δὲ φιλονεικοτέραν ποιεῖ πρὸς τὸ δοκοῦν ἀσύμφορον ἄγουσα.* [6] *Καὶ ἅμα τὸ δοκεῖν ἐξ ἴσου τοῖς ὅπλοις ἀγωνίζεσθαι παρρησίαν αὐτοῖς εἰς ἀπόνοιαν ἐδωρεῖτο.* [7] *Οὕτω ποτὲ καὶ Σκυθῶν*(10) *οἱ νομάδες, ἐπαναστάντων αὐτοῖς τῶν οἰκετῶν, μέχρι μὲν ἐν ὅπλοις ὁ πόλεμος ἦν, ἐρίζοντας εἶχον· τὸ γὰρ ἴσον τοῦ σχήματος ἐποίησε τοὺς θεράποντας ἐπιλαθέσθαι τῆς τύχης· ἀναλαβόντες δὲ μάστιγας, τοῦτό τινος ὑποθεμένου, ταχέως αὐτοὺς τῆς δουλείας ἀνέμνησαν, δεσπόται φανέντες.* [8] *Ὦ μεγάλης μὲν τῆς βασιλέως φιλανθρωπίας, μεγάλης δὲ τῆς σῆς πρὸς τοῦτο διακονίας.* [9] *Ἔδει*(11) *γὰρ τὸν μὲν νομοθετῆσαι τῆς ἀσεβείας τὴν*(12) *ἴασιν, σὲ δ' ἤπια φάρμακα πάσσειν*(13). [10] *Καθάπερ οὖν τῶν Ἀσκληπιαδῶν οἱ τεχνῖται φοιτῶσι πολλάκις παρὰ τὸν κάμνοντα, τὰ μὲν ἡδέα καὶ προσηνῆ, τὰ δὲ πικρότερα φέροντες, ἵνα διαμαρτόντες, ἂν οὕτω τύχῃ, τῶν πραοτέρων τοῖς ὀδυνηροῖς ἀποχρήσωνται, μὴ βουλόμενοι μὲν εἰς τοῦτο χρείας ἐλθεῖν, τῇ δὲ βίᾳ τῆς νόσου νενικημένοι· οὕτω διπλῇ παρασκευῇ πεφραγμένος, ἡμέροις τε λόγοις καὶ πλήθει συντεταγμένῳ, πλησίον που τὴν ἔνοπλον δύναμιν παραστήσας, τοῦ μὴ θόρυβον αὐτοῖς ἐμβαλεῖν ἴσως ἄνευ*(14) *πολέμου πρὸς τὸ λυσιτελοῦν ⟨ἂν⟩ ἀγομένοις, ἐχώρεις τῆς ἀσφαλείας ἐνέχυρον ἔχων τὸ πολλάκι τοι*(15) *μῦθος εἰς καιρὸν εἰρη-*

---

8. *τάγμα καὶ τάγμα χειρῶν* Ms. *βία*

9. *ἡ τοῦ πολέμου ... ἀσυμφορον ἄγουσα*, fragment *η'* chez Boissonade, p. 283, avec cette note : « Fragmenta *η'* — *ιδ'* excerpsit Macarius Chrysocephalas Roseto apud Villoison. Diatr. p. 20, ex Choricii in Aratium oratione. »

10. *Σκυθῶν οἱ νομάδες, ἐπαναστάντων αὐτοῖς ποτε τῶν οἰκ. ... δεσπόται φανέντες*, fragment *ϑ'* chez Boissonade, p. 283. — Cette anecdote est empruntée à Hérodote, IV, 34.

11. .δει Ms (mangeure de ver).

12. τ̀.. Ms. (mangeure de ver).

13. *Iliade*, XI, 830, *ἐπὶ δ' ἤπια φάρμακα πάσσε*. C'est une des citations favorites de Chorikios (voy., p. ex., *Éloge de Marcien*, I, p. 94, l. 9, Boisson.).

14. *ἄνευ*] *ἂν ἐν* Ms. [Peut-être *ἴσως ⟨ἂν⟩ ἄνευ*. — Réd. de la *Revue*.]

15. On reconnaît dans les mots *πολλάκι τοι μῦθος κτλ.* une citation de poëte, mais que l'orateur ne semble pas avoir rapportée textuellement. Weil a arrangé ce fragment en choliambes:

- - - πολλά τἂν μῦθος
εἰς καιρὸν ἐλθὼν ῥᾳδίως κατορθοῖ
ὅπερ βιαίως ⟨οὐκ ἔπραξεν⟩ ἡ ῥώμη. —

Πολλάκις καὶ λόγος εἰς καιρὸν εἰρ. κ. τ. ῥ. ὅ. β. ἡ ῥώμη, fragment *ι'* chez Boissonade, p. 283.

μένος κατορθοῖ τι ῥᾳδίως, ὅπερ βιαίως ἡ ῥώμη. [11] Τί οὖν; ἐκεῖνοι ἄνθρωποι[16], στρατόπεδον ὅλον, πάντες ἀτονεννοημένοι[17], πάντες ἐξωπλισμένοι — αὐτὸς[18] δέ, κατὰ τὴν ποίησιν[19], ἐφέλκεται ἄνδρα σίδηρος — ἁπλῇ παραινέσει τὸ δέον ἐφρόντισαν. [12] Οἰκοῦν δυνάμει μὲν τὴν δίκην λαβών, καλοκἀγαθίᾳ δὲ τρόπων τὴν ὀργὴν ἐχαλάσας, διχόθεν αὐτοὺς παρεσκευάσας[20] σωφρονεῖν, τὴν μὲν ἀνδρείαν ἐφορωμένους, ὑπὲρ δὲ τῆς ἡμερότητος εὐνοοῦντας· ἔξωθεν μὲν οὖν οὕτωσὶ[21] τὰ πεπραγμένα τις θεωρῶν δόξειεν ἂν ἡμερότητα μόνον ἐπανθεῖν τοῖς εἰργασμένοις, ἐμβλέψας δὲ τῷ βάθει τῆς διανοίας καὶ τὸ τῆς ἀνδρείας ὄψεται μέγεθος. [13] Ὁ μὲν γὰρ ὑπὲρ τὴν ἀξίαν ἐκ τοῦ παραλόγου τι κατορθῶν, ἀσθενέστερος ὢν ἢ προσδοκῆσαι (22) νίκην δευτέραν, μέχρι καὶ ἐς ὄλεθρον ἀμύνεται τοῖς [fol. 30] λιπήσαντας, κἂν τίχωσιν ὄντες τῆς ἐσχάτης ἀνάξιοι δίκης· ὁ δὲ συνειδὼς ἑαυτῷ τὴν, ὅτε βούλεται, χειρώσασθαι τοὺς ἐχθροὺς ἐξουσίαν, ὁ τοιοῦτος οὐκ ἀξιοῖ τῷ θυμῷ τὸ πᾶν ἐπιτρέπειν, ἄλλως τε(23) μηδὲ πρὸς ἀλλοφύλους γενησομένῳ.

§ IV. Τοιγαροῦν τοὺς βαρβάρους ὁ πολὺς(1) ἡμῖν στρατηγὸς μικροτέρῳ δικαίως ἐπῆλθε σωφρονισμῷ(2). [2] Φρούριον ἦν χρυσοῦ μέταλλα πρόσοδον φέρον(3), πανταχόθεν πολιορκεῖν ἀπορώτερον ἢ τὸ τῶν Σάρδεων τεῖχος Ἁλικαρνασσέως τινὸς μῦθοί φασι(4)· τὸ μὲν γὰρ πλάσμα συγγραφικὸν εἰργάσατο διαπολέμιστον — γυνή, φησίν, ἔτεκε λέοντα, καὶ περιενεχθέντος τοῦ θηρίου ἔδει τὸ τεῖχος ἀνάλωτον(5) εἶναι —, τὸ δὲ δημιούργημα τέχνης ἐστὶν, οὐ

16. *ἐκεῖνοι ἄνθρωποι* Ms. Pour éviter l'hiatus, on pourrait écrire *ἄνθρωποι ἐκεῖνοι* ou conjecturer *ἐκεῖνοί γ' ἄνθρωποι*.

17. *ἀπεννοημένοι* Ms.

18. *Odyssée*, XVI, 294, *αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος*.

19. Cf. plus bas, § V, note 7.

20. *παρασκευάσας* Ms.

21. *ο.τ ω* Ms (mangeure de ver).

22. Voy. Krüger, *Grammaire grecque*, § 49, 4.

23. *ἄλλως τε*, comme au § XV, 3. Au surplus, voy. Hermann sur Viger. *De præcipuis Græcæ dictionis idiotismis*, p 778 (4e édit.).

§ IV.] 1. Cf. *Éloge de Summus*, p. 27, l. 5 d'en bas, Boisson., *ὁ δὲ πάντα πολὺς οὗτοσί*.

2. Cf. § VI, note 5.

3. Lire *μετάλλου πρόσοδον ἀφαιρούμενον*? ou peut-être *ἀφαιρεῖν* avec le sens de « dérobant, ôtant (aux nôtres), fermant l'accès d'une mine. » Au point de vue paléographique, *ἀφαιρούμενον* (qui s'écrivait *ἀφαιροὐμ*) — *ἀφαιρεῖν* (qui s'écrivait *ἀφαιρεῖ*ν); et *φαιρεῖν*, ou *φαιρεὶ*, devait presque inévitablement produire *φέρον*.

4 Herodote, I, 84.

5. *τὸ τεῖχος ἔδει τὸ τεῖχος ἀνάλωτον* Ms. (le premier *τὸ τεῖχος* est de seconde encre).

μυθολόγημα συγγραφῆς. [3] Οὕτω τοίνυν ἀποτόμου πρὸς ἅλωσιν ὄντος, ὀλίγον ἔμελε τοῖς ἐνοικοῦσι πολιορκίας, ἀφθόνου τροφῆς αὐτοῖς κεχυμένης καὶ πηγῆς ἔνδον ὑδάτων συντελούσης περιουσίαν, ὥστε τοῖς μὲν ὑπῆρχε κατὰ(6) πολλὴν ἐξουσίαν τρυφᾶν, τοῖς δὲ περιβαλλομένοις(7) τὸ φρούριον ἀνόνητα πιέζεσθαι καὶ πονεῖν τῷ μήκει(8) τῆς προσεδρείας. [4] Τοιαύτας εἶχόν σοι τὰς φροντίδας αἱ νύκτες, τοιοῦτοί σοι μεθ' ἡμέραν ἔστρεφον τὴν ψυχὴν λογισμοί. [5] Καί ποτε κύκλῳ περισκοπῶν τὸ χωρίον, κατανοήσας τὸν ἔξω φέροντα πόρον τῶν ἔνδον ὑδάτων τὸ περιττὸν καὶ τῷ προσώπῳ μηνύσας ὡς ἐξεύρηταί σοι τὸ πάλαι ποθούμενον καὶ παραδοὺς ὥσπερ ἄλλο τι μάθημα τῇ διανοίᾳ, νύκτα φυλάξας — οὐ γὰρ ἦν ὑφ' ἡλίῳ τὸ βούλευμα(9) προελθεῖν — καὶ τῆς νυκτὸς ὕπνου τοῦ πρώτου καιρὸν, ὅθ' ἡ(10) μεγίστη τῶν αἰσθήσεων ἡσυχία δοκεῖ, τότε τοῖς ὕδασιν ἐπιτρέψας τὸ σῶμα, οὐδὲ συστρατιώτας ὅτι μὴ δύο λαβών, καθεύδοντι τῷ φύλακι τῶν πυλῶν ἐπιστὰς, τὸν μὲν ὀξέως ἀνεῖλες, ὅπως μὴ λάθοι τοῦ τολμήματος μηνυτὴς γεγονώς, ὀλολυζούσης δέ οἱ(11) τῆς γυναικὸς οἰμωγῇ τε χρωμένης καὶ κηρυττούσης τὸ γεγονὸς, σὺ μὲν εἱστήκεις οὐδὲν ὑφορώμενος ὡς ἐπαμῦναί σοι καλουμένων οὓς ἐπὶ σὲ βοῶσα συνῆγε· τῶν δὲ πολεμίων οἱ μὲν ὥσπερ ἐν ὀνείρατι βοῆς γινομένης ἐπὶ τῆς εὐνῆς ἐταράττοντο, τοὺς δὲ, οἷον εἰκὸς ἄρτι γευσαμένους ὕπνου καὶ πολεμίας ἐπιβουλῆς ἀπροσδοκήτου(12) συμβάσης, οὐ μέτριον ἔλαβε δέος, καὶ δᾷδας(13) αὐτοῖς(14) ἐπιφέροντες(15) ἐλάνθανον ὑμῖν(16) χορηγοῦντες τὸ φῶς, ὅθεν ὁ δεύτερος ἀεὶ προσιὼν ἀγνοίᾳ τοῦ πρώτου προσέπιπτέ σου(17) τῷ ξίφει· καὶ συχνῶν ἤδη σοι τῶν οἰκείων εἰσχεομένων τὰς πύλας ἀναπε-

---

6. ...α τ Ms. (mangeure de ver).
7. περιβ . . . ομένοις Ms. (mangeure de ver).
8. μ.κει Ms. (mangeure de ver).
9. βούλημα Ms.
10. ὅθ' ἡ] ὅση Ms.
11. δὲ οἱ (à ce qu'il semble) Ms. [Ces deux lettres peuvent n'avoir été, dans un des manuscrits précédents, que le commencement d'*οἰμωγῇ*, écrit par anticipation. — Réd.]
12. ἀπροσδο . . του Ms. (mangeure de ver).
13. δέος . . . . ᾷδας (ou ᾴδας?) Ms. (mangeure de ver).
14. αὐτοῖς Ms.
15. ἐπιφέροντες] Cf. § VII, 2.
16. Boissonade, page 29, note 1: «Frequens pronomen *ὑμέτερος* pluralis »significationis pro *σος* in recentioribus auctoribus, et *ὑμεῖς* pro *σύ*. Monui »ad Simocattae epistolas, p. 364, memor lŏci Choriciani» (p. 29, l. 5, *τοῖς ὑμετέροις ἴχνεσιν*, en parlant au seul Summus) «et aliorum. Sic statim »*ὑμᾶς* pro *σέ*» (p. 29, l. 17). Cf. encore p. 29, l. 14: p. 33, l. 5 d'en bas: p. 81, l. 3: p. 110, l. 16: p. 111, l. 6: p. 252, l. 8.
17. σοι Ms.

τάσαντι, τότε πρῶτον ἠλέγχθη τὸ φροί-[fol. 31]ριον οὐ πᾶσιν ἄμαχον πεφυκός. [6] Ἓν δ' ἄρα κέρδος προσεγένετο τοῖς πολεμίοις ὅτι τῇ πείρᾳ μετέμαθον ὡς οὐδέν(18) ἐστιν ἀνάλωτον ἀρετῇ(19). [7] Ἐνταῦθα δὴ διὰ πάντων ἐχώρει τὰ ξίφη, καὶ τῶν πολεμίων οἱ μὲν πρὸ τῶν ἄλλων πεσόντες αὐτῷ τῷ πρῶτοι(20) παθεῖν τὴν ἀξίαν δίκην ὑπεῖχον, οἱ δὲ τὸν χρόνον κερδᾶναι δοκοῦντες ὅσος ἐδαπανᾶτο ταῖς προτέραις σφαγαῖς τῇ θέᾳ τῶν συμφορῶν ἐκολάζοντο, ὥστε τὸν ἴσον ἅπαντας ὑποστῆναι σωφρονισμόν(21). [8] Εἰ μὲν οὖν μὴ πολλοὶ πρότερον καὶ δεινοὶ τὰ πολέμια στρατηγοὶ πειράσαντες τοῦ χωρίου πολλάκις ἔγνωσαν ἀδυνάτων ἐρῶντες (22), ἴσως ἂν εἶχεν ὁ φθόνος ἀσθένειαν αἰτιάσασθαι τοῦ φροιρίου καὶ ταύτῃ βραχύ σου τῆς εὐδοξίας ἀποσυλῆσαι· νῦν δὲ, πολλῶν μὲν ἐγχειρησάντων, οὐδενὸς δὲ ἑδρακότος οὐδέν, οἱ πρὸ τῆς σῆς ἀριστείας ἀποτυχόντες μάρτυρες γίνονται τοῦ μεγέθους τῆς νίκης. [9] Στρατήγημα φοβερὸν καὶ πρὶν γενέσθαι μὴ πιστευόμενον· εἰσῆλθέ σε πρᾶγμα τοσοῦτον, εἰσελθὸν ἐτολμήθη, τολμηθὲν οὐ διήμαρτεν. [10] Ἐνταῦθα λοιπὸν(23) ἀναγκάζομαι καὶ νόμον τινὰ παραβῆναι τῆς τέχνης(24)· ἐκείνη(25) κελεύει(26) τὸν ἐπαινέτην ὃν εἰφημεῖ παραβάλλειν ὁμοίοις ἀνδράσι(27) πάλαι γεγενημένοις· ἡμεῖς δὲ πολλοὺς μὲν ἠκούσαμέν τε πολέμιους καὶ μεμαθήκαμεν(28)· οὐ μὴν ἴσμεν τοιοῦτον πώποτε τρόπον νίκης(29) παρειληφότες(30)·

---

18. *οὐδέν ἐστιν ἀνάλωτον ἀρετῇ*, fragment ια' chez Boissonade, p. 283

19. Cf. *Eloge de Summus*, p. 29 30, Boisson., *ἔδειξεν ἡ πεῖρα σαφῶς ὡς οὐδὲν ἄπρακτον ὅπου ἂν τύχῃ Σοῦμμος παρών.*

20. *πρῶτ* Ms.

21. Cf. § VI, note 5.

22. Cf. Euripide, *Hercule furieux*, 318, *ἀδυνάτων ἔοικ' ἐρᾶν*: Lucien, *Dialogues des Dieux*, VIII (à la fin), *πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς*. Cf. aussi le proverbe *Ἀδύνατα θηρᾷς· ἐπὶ τοῦ ἐγχειροῦντος μείζοσιν ἢ καθ' ἑαυτόν*, Zénobios, dans le vol. I des *Paramiographes grecs* de Leutsch et Schneidewin, et la note des éditeurs; puis Macarios, I, 26, dans le vol. II, et la note.

23. *λοι . . . ἀναγκάζομαι* Ms. (mangeure de ver).

24. Cf. *Eloge de Marcien*, II, p. 125, l. 5, Boisson., *ὑπόλοιπόν ἐστί μοι πρὸς τοὺς πάλαι τεμένη δημιουργήσαντας τῶν ἱερέα παραβαλεῖν . . . . νομοθετούσης οὕτω τῆς τέχνης.* Chorikios rappelle volontiers dans ses discours les preceptes de la rhétorique. Cf. encore *Oraison funèbre de Marie*, p. 39, l. 3 d'en bas, *εἰ τῶν παίδων ἐγκώμιον ἔγραφον, ἤδει κατὰ νόμον ῥητορικὸν ἐκ τῶν γονέων αὐτοὺς αἴρασα.*

25. *ἐ..ίνη* Ms. (mangeure de ver).

26. Cf. § X, 8, *ἡ τέχνη κελεύει κτλ.*

27. *ἀνδράσιν* Ms.

28. *μεμαθήκαμεν* (sic) Ms.

29. *νίκη* Ms.

30. Bélisaire se servit, peu de temps après (en 536), du même procédé pour prendre Naples. (Procope, *Guerre Gothique*, I, 10.) Ed. de Muralt, *Essai de chronographie byzantine* «An 536. Naples. Après vingt jours de

ὅθεν ἐπ' ἄλλο τι τῶν σῶν μεταβήσομαι, τῆς πρὸς τοῦτό μοι παραθέσεως(31) *ἀπόρως ἐχούσης.*

§ V. *Πορείαν οὖν ἄβατον οὐ τῷ*(1) *πλήθει τῆς ὕλης κατὰ τὴν ἐξ Ὀδρυσῶν*(2) *ἐπὶ Παίονας ὁδὸν, ἣν ὡμάλισεν ὁ Σιτάλκης, δασείας δ' ὕλης καὶ πυκνῆς τραχυτέραν ἐφόδοις Σαρακηνῶν ἰδεῖν μὲν ἀγρίων, ἀδικίᾳ*(3) *δὲ χαλεπωτέρων, τὴν τοιαύτην πορείαν εὐκόλως ἡμέρωσας, στρατιώταις οὐδὲ εἴκοσιν ἀριθμὸν τοὺς ἐν ταῖς ὁδοῖς ὀχληροὺς ἐξαπειλῶν*(4) *ἀναστήσας.* [2] *Ταύτην ἐγώ σου τὴν νίκην τιμιωτέραν φημὶ τῶν ὅπλοις καὶ πυρὶ καὶ σιδήρῳ σοι πεπραγμένων*(5). [3] *Πολυχειρίας μὲν γὰρ κατορθούσης, πάντες μερίζονται τῶν εἰργασμένων τὴν δόξαν, ἄλλων ἄλλους καταβαλόντων*(6), *κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ*(7) *δοκῇ τὴν εὔκλειαν ἄρνυσθαι*(8)· *ὅτε δὲ τῇ φήμῃ τοῦ στρατηγοῦ τὸ δυσμενὲς ὑποκύπτει*(9), *ἕνα δεσπότην ἔχει καὶ κληρονόμον ἡ νίκη τὸν ἐμβαλόντα τὸ δέος.* [4] *Καὶ τὰ μὲν δι' ἀγῶνός τε καὶ χειρῶν καὶ ὀργάνων τῆς μάχης ἱστάμενα τρόπαια πολλὰς δίδωσι τοῖς ἡττωμένοις παραμυθίας ἐμφάσεις — καὶ γὰρ τύχης ἐπιβουλὴν αἰτιάσασθαι καὶ χωρίων ἀσθένειαν καὶ τὸ τοὺς πολεμίους ἐξαίφνης ἐπιπεσεῖν καὶ δόλους δὴ*(10) *καὶ ἀπάτας, καὶ μυρία τοιαῦτα τοῖς ἡττωμένοις*(11) *ὑπάρχει*

»siége, Bélisaire *pénètre dans la ville par l'aqueduc* et fait huit cents »prisonniers.»

31. *παραθέσεως*] Cf. § V, 5.

§ V.] 1. *οὕτω* Ms.

2. *ἕξω δρυσῶν* Ms. — Chorikios se souvient ici de Thucydide (II, 98).

3. *ἀδικεῖν* Ms.

4. Ou *ἐξ ἀπειλῶν*? Le composé *ἐξαπειλῶν* manque aux lexiques. On pourrait conjecturer encore *ἀπειλῶν ἐξαναστήσας*, ou *ἐξαναστήσας ἀπειλῶν*.

5. Cf. *Éloge de Summus*, p. 30, l. 4, Boisson., *ταύτην ἐγὼ τὴν διάλυσιν παντὸς εἶναί φημι τροπαίου τιμιωτέραν.*

6. *καταβαλλόντων* Ms.

7. Cf. plus bas, § XII, 3, *μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη τῷ μύθῳ*: de même, § III, 11, *αὐτὸς δὲ κατὰ τὴν ποίησιν κτλ.*: *Oraison funèbre de Procope*, p. 17, l. 3 d'en bas, Boisson., *« ἐσθλοῦ γὰρ ἀνδρός » ἡ τραγῳδία φησὶν « ἅπαντα φέρειν καλῶς »*: *Éloge de Marcien*, II, p. 110, l. 3 d'en bas, *εἴ γε, κατὰ τὴν τραγῳδίαν, φιλόψογόν ἐστι τὸ φῦλον (τῶν γυναικῶν)*: *Oraison funèbre de Marie*, p. 48, l. 6, *ἐκείνην ὀλβίαν προσεῖπεν ἂν εἰκότως ἡ τραγῳδία, ἥπερ εὐτυχῶς τὴν τελευταίαν ἐπέρασεν ἡμέραν*: *Description de l'horloge*, p. 151, l. 1 d'en bas, *ταύτην (τὴν Γοργὼ) ἂν εἶπεν ἡ τραγῳδία αἱματωπόν τε καὶ δρακοντώδη κόρην*: *Éloge de Marcien*, II, p. 114, l. 9 d'en bas, *(κίονες) « λευκότεροι χιόνος » κατὰ τὴν ποίησιν*: *Description du tableau*, p. 158, l. 5 d'en bas, *ὄρνιθας ἃς πελειάδας μὲν εἶπεν ἡ ποίησις.*

8. Euripide, *Andromaque*, 696, *ὅταν τρόπαια πολεμίων στήσῃ στρατὸς,* || *οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,* || *ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται* || *κτλ.*

9. Cf. § II, note 3.

10. *δόλου . . ἡ* Ms. (mangeure de ver).

11. *ἡτ . ωμένοις* Ms. (mangeure de ver).

[illegible] τὸ δὲ πρὸ τῆς [illegible] ἔχει τοιαύτην. [illegible] ἕτοιμος ἐγὼ [illegible] τις εἰς ἐξέτασιν, [illegible] ἐρεῖς μοι τὸν [illegible] σιωπῶ ὃν εἰκὸς [illegible] φαίνεται δὲ [illegible] ὤν· δέκα μὲν [illegible] — εἴ που ξύλι- [illegible] Οὐκοῦν ὅσῳ τὸ φο- [illegible] σεμνότερος ὁ παρὼν [illegible]

[illegible] τῷ στρατηγοῦντι [illegible] ἐπαίδευσεν ἡσυχά- [illegible] [2] Μοῖρα γὰ [illegible] πόλεις τὰς ὁμόρ[illegible] [illegible] οὐ πολιὰν [illegible] οὐ τοὺς ὅρους [illegible] [3] Ταῦτά σοι [illegible] θυμὸς εἰς ἀβου[illegible]

[illegible] Procope. p. 6, l. 8, Bois[illegible] [illegible] de même Tyr[illegible] [illegible] et p. 73, l. 1, [illegible]

[illegible] paraisse incorrect (voy. Krü[illegible] [illegible] pas qu'il y ait là [illegible] [illegible] peut rapprocher d'au[illegible] [illegible] § VII, 3, ὅτου δέοιτο, e[illegible] [illegible] <τοῦτον> (ce mot [illegible] [illegible] εἰκὸς μὲν τὸν Ὅμηρον [illegible] Thucydide, I, 10, 3, τὴν στ[illegible] [illegible] γενέσθαι τῶν πρὸ αὐτῆς, λει[illegible] [illegible] εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, [illegible] ὅμως δὲ φαίνεται καὶ οὗτ[illegible] [illegible]

16. καὶ paraît ici nécessaire.

[illegible] VI.] 1. A l'éloge du duc Aratius succède celui du gouverneur Stéphanc[illegible]

2. Τῷ στρατηγοῦντι = Duci. — Ὁ τὴν Παλαιστίνην κυβερνῶν = Praes[illegible] Palaestinae ou, pour désigner ce magistrat par son titre spécial, Consular[illegible] Palaestinae.

3. Faut-il ἐμπόδιον? Cf. Éloge de Marcien, I, p. 87, l. 13, Boisson., [illegible] μὴ πρὸς τὴν θείαν ἀκρόασιν ἐμπόδιον ἦν φθεγγομένη: Polybe, IV, 81, 4 [illegible] θεώρων δὲ μέγιστον ἐμπόδιον ὑπάρχον αὐτῷ πρὸς τὴν ἐπιβολὴν τὸν Λυκοῦρ[illegible] γον κτλ.

ἠρέθισε (4) προπηδήσας τοῦ λογισμοῦ· δύναμιν γὰρ ἀποχρῶσαν ἀγείρας, τὴν ἐκείνων ἐσωφρόνισας (5) ἀκρασίαν, πανταχόθεν ἠλλοτριωμένην (6) συγγνώμης· οὐ γὰρ ἔρως ἦν ὁ τὴν ἀκολασίαν ποιῶν, ἵνα δοκῶσί τινα παραίτησιν (7) ἔχειν τοῦ πάθους δουλωσαμένου τὴν γνώμην, ἀλλὰ θρασύτης ἀσελγῶς ἐνυβρίζουσα.

§ VII. Καὶ τοῦτο μὲν ἡμῖν τοῦ λόγου τὸ μέρος ἐνταῦθα πέρας ἐχέτω· δευτέρα δέ σου κηρίττεται πρᾶξις ἐκ τῆς Καισαρέων ἅμα καὶ τῶν ἐκείνης ὁμόρων. [2] Τὰς γὰρ ἐν μέσῳ τῶν πόλεων κακούργων ἐνέδραις ἐπισφαλεῖς λεωφόρους, αἷς οὐδὲ στρατιώτης ἀνὴρ ἐχρῆτο θαρρῶν, νυνὶ (1) καὶ παιδίον ἀκινδύνως πορεύεται· κἂν ἤδη λιπούσης τῆς ἀκτῖνος (2) ἀνὴρ ὁδοιπόρος ἐξ ἑτέρας τῶν πόλεων ἐπὶ τὴν ἑτέραν ἰὼν μεταξύ που καθεύδῃ (3) χρυσὸν ἐπιφέρων (4), ἄσυλον αὐτῷ τὸ χρυσίον (5) ἐν ἐρημίᾳ καὶ νυκτὶ καὶ ὕπνῳ, τῆς τοῦ κέρδους ἐπιθυμίας τῷ φόβῳ παραχωρούσης. [3] Τέως δὲ, τῶν ὁδῶν κεκλειμένων λῃστρικαῖς ἐπηρείαις, τὸ τῶν ἐπιμίξεων ἡδύ τε καὶ χρήσιμον τὰς πόλεις ἐξέλειπεν· ἡδὺ μὲν γὰρ ἐκδημοῦντας ἱστορῆσαι γείτονα πόλιν (6), ἡδὺ δὲ τὴν ἐπιθυμίαν ἐμπλήσαντας πάλιν ἐπὶ τὴν οἰκείαν ἰέναι· τό γε μὴν (7) κερδαλέον καὶ λυσιτελὲς οὐδὲ τὸν λίαν ἀπράγμονα καὶ διὰ παντὸς οἰκουροῦντα λανθάνει· καὶ γὰρ πλείονα πεῖραν πραγμάτων καὶ τριβὴν ὀξυτέραν καὶ τὸ ῥᾳδίως ὅτου δέοιτο (8) πορίζεσθαι τῶν πόλεων αἱ πρὸς ἀλλήλας ἐπιμιξίαι χαρίζονται· ἑκάστη γὰρ, τὸ

---

4. Cf. § I, 1, *πρὸς ἐπίδειξιν πρώτην ἐρεθίσαι*, et la note afférente à ce passage.

5. Cf. § IV, 1, *πικροτέρῳ ἐπῆλθε σωφρονισμῷ*: et 7, *τὴν ἴσον ἅπαντας ὑποσιῆναι σωφρονισμόν*: *Tyrannicide*, p. 58, l. 9, Boisson., *τὴν . . . κακίαν οἴονται δεῖν σωφρονίζειν οἱ νόμοι.*

6. *ἠλλοτριωμένης* Ms. Cf. *Éloge de Marcien*, II, p. 110, l. 4 d'en bas, Boisson., *ἔπαινος δὲ γυναικῶν πάσης ἠλλοτρίωται κολακείας.* Cf. aussi Théodoret, *sur Daniel*, ch. 3 (t. II, p. 1116, Schulze), *καὶ μὴ παντελῶς ἡμᾶς τῆς σῆς προμηθείας ἀλλοτριῶσαι.*

7. *π..αίτησιν* Ms.

§ VII.] 1. *γυνὴ* Ms.: *νυνὶ* Tournier.
2. *ληγούσης* (à ce qu'il semble) *ἀκτῖνος* Ms.
3. *καθεύδει* Ms.
4. *ἐπιφέρων*] Cf. § IV, 5.
5. *χρυσίον* est écrit deux fois dans le Ms.
6. Voy. un développement tout semblable, sur le même motif, dans le second *Éloge de Marcien*, p. 124, Boissonade.
7. *γε μὲν* Ms. Au sujet de *γε μὴν*, voy. Hermann sur Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 826 (4e éd.).
8. Cf. § V, 5, *ὃν γὰρ ἄγοι*, et la note; puis § XII, 3, *ὅπου γῆς εἴης*: p. 64, l. 7, Boisson., (*βούλεται πληροῦσθαι*) *πᾶν ὁτιοῦν προστάξειεν*: et ci-dessous *εἴη* (voy. note 12).

μὲν αὐτὴ κέκτηται, τὸ δὲ παρ' ἑτέρας(9) λαμβάνει(10), τάχα τῆς φύσεως ἐξεπίτηδες(11) τοῦτο μηχανωμένης, ἵνα πρόφασις εἴη(12) φιλίας ταῖς πόλεσιν ἡ πρὸς ἀλλήλας τῶν ἐπιτηδείων ἀντίδοσις.

§ VIII. Ὃ τοίνυν ἐν μέσῃ τῇ Καίσαρος ἔργον σοι πέπρακται, καὶ μάλα σοι πεπράχθαι προσῆκον, οὐδὲ τοῦτο φέρειν σιωπῇ καρτερῶ(1). [2] Ἑσπέρα μὲν ἦν, ἀγορὰ δὲ πλή-[fol. 33]θουσα πανταχοῦ, μήπω τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν ἔμφυτον ἡσυχίαν· θορύβου δέ τινος ἄφνω συμβάντος οἷον φιλεῖ δῆμος ποιεῖν, ἄλλος ἀλλαχοῦ περιέτρεχον πῦρ ὀνομάζοντες·

πάπτηνεν(2) δ' ἄρ' ἕκαστος ὅποι φύγοι αἰπὺν ὄλεθρον(3)· παρὰ τοσοῦτον ἡ μητρόπολις(4) ἦλθε κινδύνου. [3] Οὕτω δὴ πάντων ὡς ἐν φλογὶ καὶ νυκτομαχίᾳ ταραττομένων τῆς νυκτὸς ἐκείνης οὐδὲν εἰς ἀνάπαυλαν προσλαβὼν, οὐδ' ὅσον τοῦτος (5) Ὁμήρου συστῆσαι κοινὸν ἁπάντων δεσπότην τὸν Ὕπνον ἀποκαλοῦντος(6), περιέθεις λαμπαδίῳ προηγουμένῳ πάντα περισκοπῶν, πᾶσιν ἐφεστηκὼς, μή τις ἐξάπτῃ τὸν δῆμον εἰς ταραχὴν, μή που λανθάνουσι(7) κεκρυμμένοι σπινθῆρες· οὐ γὰρ ἡγήσω δεῖν ἀναπαύεσθαι τῆς φλογὸς οὐ δεχομένης ἀνακωχήν· τὸ γὰρ πρῶτον ἀεὶ δαπανώμενον εἰς πυρὸς φύσιν μεταβληθὲν ἐπινέμεται τὸ πλησίον. [4] Νὺξ ἐκποδών· καὶ πάντες εἰρηνικῶς

---

9. ἑτέροις Ms.
10. λιμβάνει Ms. (mangeure de ver).
11. ἐξεπιτηδὲς Ms. (mangeure de ver).
12. Εἴη est incorrect; cependant il n'est pas sûr que Chorikios ait écrit ἦ. Voy. d'autres irrégularités du même genre, ci-dessus, à la note 8.

§ VIII] 1. φέρειν σιωπῇ καρτερῶ peut paraître suspect. — *Éloge de Summus*, p. 34, l. 17, Boisson., τὰ τοῦδε σιγῇ παραδούς: *Mimes* (discours inédit), fol. 154, ὅθεν καὶ τοῦτο . . . σιγῇ παρατρέχεις.
2. πάπτην ἐν Ms.
3. Πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Iliade, XVI, 283.
4. Césarée était alors la métropole de la province de *Palestine première*. Cf. plus bas, § IX, 2: et surtout Justinien, προοίμιον de la *Novelle* 103, Ἡ Καισαρέων μητρόπολις ἡ Παλαιστίνης ἡγουμένη τῆς πρώτης. Cf. encore Hiéroclès, *Synecdème* νγ' (éd. G. Parthey, Berlin, 1866), Καισάρεια μητρόπολις (en tête des vingt-deux villes principales de la *Palestine première*). L'importance de Césarée remonte bien plus haut que Justinien. Déjà Tacite (*Histoires*, II, 78) l'appelait *Judaeae caput*; et on voit dans les *Actes des Apôtres* que Césarée était, dès cette époque, la résidence du gouverneur de la province, ἡγεμὼν (ce gouverneur portait alors le titre de *procurator Palaestinae*).
5. τὸ ἔπος Ms.
6. Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Iliade, XIV, 233.
7. λανθάνουσιν Ms.

ἐπὶ θέαν συνέρρεον(8), τῶν θορύβων αὐτοῖς λαμπρῶς λελυμένων(9). [5] Συγγραψάτω δή τις, ὅτῳ τέχνῃ συγγράφειν, τὰ τῶν στάσεων χαλεπὰ, νόμων ὀλιγωρίαν, ἑταιρείας(10) ἀτόπους· ὅσῳ γὰρ ἄν τις κατηγορήσῃ τῶν στάσεων, μείζων τῷ διαλύσαντι (11) γίνεται κόσμος. [6] Δῆμοι γὰρ ἐπ' ἀλλήλους ἐρίζοντες φιλονεικότεροι πολεμίων, καὶ μάλιστα σιδηροφορεῖν ἐγχειροῦντες, τῆς ἀπειροκαλίας(12) αὐτοὺς εἰς ἄκριτον συμπλοκὴν ἐμφερούσης· δεινὴ δὲ καὶ ἄλλως καὶ δυσίατος ἔρις ἡ τῶν οἰκείων ἐστὶ πρὸς ἀλλήλους. [7] Τοιγαροῦν, εἴ ποτέ τις ἔδοξε τὴν προτέραν σύγχυσιν ἀναστεῖλαι, πάλιν αὐτῆς ὁμοίως (13) ἀναφυείσης ἔγνω πεποιηκώς τι τοιοῦτον ὥσπερ ἄν εἰ φλογὸς ἐκ ῥίζης τινὸς ἀφανοῦς εἰς ὕψος ἠρμένης, τὸ περιθέον ἄνωθεν πῦρ ἀποσβέσας τὴν ὕπουλον φλόγα καὶ κάτωθε βρύουσαν εἴασε. [8] Τὸ γὰρ πάλιν μὲν ἐκείνους νεωτερίσαι, πάλιν δὲ πυρπολῆσαι τὸ ἄστυ, τοῦ μὴ πρόρριζον ἐκκεκόφθαι (14) τὴν στάσιν τεκμήριον ἦν.

§ IX. Ἔχει σου καὶ τρίτην(1) λέγειν φιλανθρωπίαν ὁ δῆμος ὁ Καισαρέων. [2] Σιτοδείας γὰρ ἔναγχος ἐκείνοις ἀπειλουμένης, καὶ τοσούτου δέους ἐπικρεμασθέντος ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ(2) καὶ ζῆν ἐν εὐπαθείαις εἰθισμένῃ, σίτῳ πλουσίαν ἔδει-

---

8. συνέρ.εον Ms. (mangeure de ver).
9. λελυμένω. Ms. (mangeure de ver).
10. ἑταιρίας Ms.
11. Justinien, créant par sa *Novelle* 103 le proconsulat de Palestine en faveur de Stéphanos, qui avait rendu des services exceptionnels comme gouverneur de la province consulaire de Palestine première, confirme d'une manière éclatante, dans l'exposé des motifs, le témoignage rendu ici par Chorikios: *Καὶ γὰρ δὴ τοῦτο αὐτοῦ* (c.-à-d. *Στεφάνου*) *τῆς ἀρχῆς ἴδιον, ὃς δὴ παραλαβὼν στασιάζουσαν τὴν χώραν ἔκ τε προφάσεων ἑτέρων καὶ μάλιστα ἐκ τοῦ διαφόρου τῶν θρησκευμάτων εἰρηνικήν τε ἀπέδειξε καὶ πάσης ἀπήλλαξε ταραχῆς.* — « Au culte des divinités adorées par leurs ancêtres, » dit Mignot, dans son sixième mémoire sur les Phéniciens, en se référant au témoignage de "Marc. Diacon. *Vita S. Porphyr.* ap. Baron. ad. ann 401", « les Gazéens avaient ajouté celui des dieux de la Grèce qu'ils avaient adopté pendant qu'ils étaient sous la domination des successeurs d'Alexandre, et ils le conservèrent sous celle des Romains: cette idolâtrie était encore la religion dominante de leur ville à la fin du IVe siècle et au commencement du Ve siècle. » (*Mémoires de l'Académie des Inscriptions et Belles-Lettres*, t. XXXIV [1770].) On voit que l'idolâtrie persistait encore dans la province vers le milieu du VIe siècle.
12. ἀπει.οκαλίας Ms. (mangeure de ver).
13. Peut-être *αὐθις ὁμοίας*.
14. Cf. *Tyrannicide*, p. 57, l. 10, Boisson., *μήπω προρρίζου τῆς τυραννίδος ἐκκεκομμένης*.

§ IX.] 1. L'orateur réunit sous un seul chef les faits énoncés dans les §§ VII et VIII; c'est ainsi qu'il n'en est encore qu'au troisième point de l'éloge du gouverneur.
2. Cf. ci-dessus, § VIII, 2, note 4.

ξας τὴν μητρόπολιν· καὶ πρὸς τὴν ἐναντίαν δόξαν [fol. 34] *περιέστησαν οἱ καιροί, ὥστε τοὺς πάλαι τῆς εὐπαθείας ἐνδείας γενέσθαι δοκεῖν παραβαλλομένοις τοῦ σίτου τῇ περιουσίᾳ.*

§ X. *Ἑτέραν τοίνιν εὐεργεσίαν τῆς εἰρημένης ἀντίρροπον ἐκ τῆς αὐτῆς ἥκω σοι πόλεως φέρων.* [2] *Σταδίοις, οἶμαι, πεντήκοντα πρὸς ἕω τῆς πόλεως ἐξιόντι πηγαὶ συναντῶσι διαφανῆ καὶ ἀλύπῳ νάματι*(1)· *ἐντεῦθεν ὁδὸς μεμιχάνηται τὰ τῶν πηγῶν εἰσάγουσα δῶρα τῇ πόλει* (2) *κρήναις πεποιημέναις εἰς ὑδάτων ἐποδοχήν.* [3] *Φιλεῖ δὲ τὰ τοιαῦτα πυκνοτέρας τιγχάνειν ἐπιμελείας.* [4] *Ῥᾳθυμίας οὖν γινομένης*(3), *οὐκέτι τοῖς ῥείμασιν ὁ πόρος ὁμοίως ἀκώλυτος ἦν, ἀλλὰ πολλαχῇ τε προσέπταιεν ἡ τῶν ὑδάτων φορὰ καὶ σχολαιότερον*(4) *τοῦ συνήθους ἐβάδιζεν, ὥστε τὰς κρήνας ἐντεῦθεν τὰς μὲν ἀπράκτους παριέναι συνέβαινεν ἐρήμους οὔσας ὑδάτων, παρὰ δὲ τῶν ἧττον τῆς χρείας ὑδρεύεσθαι, καὶ τοῦτο τοὺς ἐν ἡλικίας ἀκμῇ, μετὰ πλείστης ἅμα φιλονεικίας, τῶν ἀρίε-*

---

§ X.] 1. *διαφαιῆ καὶ ἀλίπῳ νάμαι* Ms. première main *διαφανῆ καὶ ἀλύπα νάματα ἔχουσαι* deuxième main. — Si la seconde main jouissait de quelque autorité, ce qui est au moins fort douteux, il suffirait peut-être de lire *πηγαὶ . . . διαφανῆ καὶ ἀλειπῆ* (ou *ἀλειπῆ*) *νάματα ἔχουσαι* Si l'on considère, au contraire, les leçons de la seconde main comme n'ayant d'autre valeur que celle de simples conjectures, on pourra songer à diverses restitutions. Voici d'abord quelques passages de l'auteur qui ont une certaine ressemblance avec celui qui nous occupe. *Oraison funèbre de Procope*, p. 7, l. 7, Boisson., *ὅπου χαρίεντα καὶ διαφαιῆ καὶ πότιμα νάματα*: *Oraison funèbre de Marie*, p. 42, l. 2 d'en bas, *ἔνθα . . . . εἰκὸς . . . . πηγὰς καθαρὰς καὶ διαφανῆ νάματα ῥεῖν*: *Eloge de Marcien*, I, p. 88, l. 5 d'en bas, *ὥσπερ γὰρ ἀμφίνου πηγῆς χρυσίου σοι νάματα χορηγούσης*. *Eloge de Marcien*, II, p. 109, l. 4, *ἀπὸ τοιούτων οὖν πηγῶν ἀρυσάμενος πολλὴν νομάτων φορὰν*: *Oraison funèbre de Procope*, p. 11, l. 4, *τὴν ψυχὴν πηγὴν εἶναί τινα παντοίους ῥέουσαν νάμασιν*. La paléographie suggérerait la correction *πηγαὶ.. διαφανεῖς ἀλιπεῖ* (on reviendra plus bas sur ce mot) *νάματι* (*ΔΙΑΦΑΝΕΙCΑΔ = ΔΙΑΦΑΝΕΙΙCΑΔ*, c.-à-d. *διαφανει και αλ.*, d'où *διαφαιῆ καὶ ἀλ.*). Nous croyons cependant être plutôt dans le vrai en supposant qu'il est tombé un mot. Alors, la restitution *διαφανῆ καὶ ἀλιπῆ* ⟨*χορηγοῦσαι*⟩ *νάματα* nous paraîtrait préférable à celle de la seconde main. Mais nous nous arrêterions plus volontiers à la suivante: *πηγαὶ . . . διαφανεῖς καὶ ἀλιπέσι* ⟨*βρύουσαι*⟩ *νάμασιν* (en comparant le texte de la p. 11, l. 4 de Boisson., cité plus haut dans cette note, et rapprochant *βρύουσαν* § VIII, 7). — Quant au mot caché sous *ἀλύπῳ*, nous ne voyons, dans aucun cas, que ce puisse être un autre adjectif que *ἀλιπὴς* ou *ἀλειπὴς* (*αλιπ ЄCI = αλιπ ΩI*), bien qu'il n'y ait qu'un seul exemple de la première forme au *Thesaurus-Didot*, et que l'autre ne soit connue que comme le nom d'une certaine source intarissable qui existait à Ephèse

2 Des restes de cet aqueduc sont encore visibles aujourd'hui parmi les ruines de Césarée de la Palestine (moderne Kaisarieh), d'après le comte de Medem chez Berghaus, *Asie*, 8e livraison, *Monuments de la Syrie*, p 42 (cité d'après Cless, au t. IV, p. 354, de la *Real-Encyclopaedie* de Pauly)

3. Peut-être *γενομένης*.

4. Peut-être Chorikios avait-il écrit *σχολαίτερον*.

σθαι βουλομένων συνωθουμένων ἀλλήλοις· γύναια γοῦν καὶ πρεσβῦται καὶ παῖδες, ἔνιοι μὲν σὺν κενοῖς ἐπανήρχοντο(5) τοῖς ἀγγείοις, ἐνίοις δὲ μέγας ὑπῆρχεν ἀγὼν ἡμιτελῆ ταῦτα κομίζειν, πολλοὶ δὲ τῶν παίδων, κατεαγότων αὐτοῖς τῶν σκευῶν, ἀπῄεσαν(6) ὀδυρόμενοι. [5] Τῆς οὖν τῶν ὑδάτων ἐνδείας τὴν ἐπιθυμίαν αὐξούσης, τῆς ἐπιθυμίας δὲ μείζω ποιούσης τὴν σπάνιν, καὶ συναυξανομένων ἀμφοτέρων ἀλλήλαις, πανταχόθεν ἀφόρητον ἦν τὸ κακόν. [6] Καί τις τότε ποιητικὸς(7) εἰκότως ἂν ἔφη τὴν Καίσαρος πολυδίψιον ἄστυ(8)· μᾶλλον δὲ, τὸ μὲν Ἄργος — οὕτω γὰρ ἐκεῖνο καλοῦσιν οἱ ποιηταί — τοὺς ἐνοικοῦντας ἀμέμπτους ἐποίει τῶν ὑδάτων τὴν ἀπορίαν ἔμφυτον ἔχον, Καισαρεῦσι δὲ πρὸς ὄνειδος τῆς ῥᾳθυμίας ἔρρεον αἱ πηγαὶ καὶ πικροτέραν αὐτοῖς ἐντεῦθεν ἀθυμίαν εἰσῆγον· οὐ γὰρ οὕτω(9) λυπεῖ(10) τὰ τερπνὰ διεστηκότα τῆς θέας ὅσον(11) φαινόμενα τοὺς ἀπολαύειν οὐ δυναμένους. [7] Τίς οὖν ὁ ταύτην λύσας τὴν συμφοράν; τίς ὁ τοῖς ῥεύμασιν ὁδὸν ἐλευθέραν ἀνοίξας καὶ τὰ πάλαι κωλύματα τεχνίταις ἀποτεμὼν τὰ τοιαῦτα δεινοῖς(12); τίς ὁ ταῖς κρήναις ἑτέρας ἔτι προσθεὶς, τῆς(13) τῶν ὑδάτων ῥύμης νικώσης τῶν προτέρων τὸ πλῆθος; Ἴσασιν οἱ πεπειραμένοι. [8] Ἤρκει μὲν οὖν εἰς ἔσχατον ὅρον ἐπαίνου σοι ταῦτα, τῶν μάλιστα συντελούντων εἰς βίον αἰτίῳ φανέντι· οὐ μὴν ἄχρι τούτων ἡ χορηγία τοῖς εὐφημεῖν βουλομένοις, πάλιν ἐνταῦθα χρηστόν σου(14) ζηλώσαντος ἰατρόν· ἐκεῖνόν τε γὰρ ἡ τέχνη κελεύει(15) τοῦ τε μὴ νόσον ἐπιπεσεῖν προνοεῖσθαι καὶ γενομένην ἐπανορθοῦν(16), σύ τε τὸν ἐλπισθέντα

5. ἐπαν. ρχοντο Ms. (mangeure de ver).

6. Selon Cobet, un *attique* et un bon *atticiste* auraient écrit ἀπῆσαν (*Variae Lectiones*, 2e éd., p. 308: et ailleurs.)

7. Cf. *Oraison funèbre de Marie*, p. 48, l. 4 d'en bas, Boisson., ἐγὼ δὲ μέτρου χωρὶς, οὐ γάρ εἰμι ποιητικός.

8. καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην. (*Iliade*, IV, 171.) Cf. *Oraison funèbre de Procope*, p. 23, l. 5 d'en bas, Boisson., ἥ τε γὰρ πόλις τοσοῦτον προσείληφε μέγεθος τῶν στοῶν, ὡς ἐξεῖναι ποιητικῶς εὐρυάγυιαν αὐτὴν ὀνομάζειν.

9. οὐχ οὕτω λυπεῖ τὰ τ. δ. τ. θ. ὅσον φαιν. τ. ἀ. οὐ δυναμένους, fragment ιβ' chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voyez la note 9 du § III.)

10. A la marge, abréviation de γνώμη.

11. ὅσῳ Ms: ὅσον manuscrit de Macarios Chrysocéphale (voyez la note 9 ci-dessus, et cf. la note 9 du § III).

12. Cf. *Oraison funèbre de Procope*, p. 13, l. 1, Boisson., καταγέλωτα κινεῖν τοῖς τὰ τοιαῦτα δεινοῖς.

13. La seconde main (sur l'autorité de cette main, voy. la note 1 du § X) a ajouté ὡς entre προσθεὶς et τῆς.

14. μου Ms.

15. Cf. § IV, 10 ἐκείνη (ἡ τέχνη) κελεύει τὸν ἐπαινέτην κτλ.

16. Cf. *Tyrannicide*, p. 60, l. 4, Boisson., τοῖς Ἀσκληπιάδαις μέλλων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον, ἢ παραπεσοῦσαν ἰασαμένοις.

λιμὸν ἀνακόψας, — ἐξ οὗ πλεῖστα συμβαίνειν ἀρρωστήματα πέφυκεν, — ἐπειδὴ τοὺς ἐλάττω τῶν ἱκανῶν κεκτημένους νόσος μετὰ τῆς ἐνδείας ἐπιθεμένη διετίθει κακῶς, ἔπαθες τὴν ψυχὴν, ἐχορήγησας [fol. 35] *τὰ πρὸς ἴασιν, συνήσθης ἀπηλλαγμένοις.*

§ XI. *Ἐντεῦθεν*(1) *δοκῶ μοι τὰς πόλεις ὁρᾶν κύκλῳ περιεστώσας, ἑκάστην ἐμοῦ δεομένην πλείοσιν ὑπὲρ αὐτῆς χρήσασθαι λόγοις*(2), *οἷα δὴ πλείους τῶν ἄλλων ὀφειλούσης σοι χάριτας· τὴν μὲν*(3) *παῖδας ὑποδεικνύουσάν μοι καὶ γύναια λῃστρικῆς ἐπηρείας ἐλεύθερα, τὴν δὲ τοὺς οἰκείους πολίτας τὸ θεῖον πεπαιδευμένους τιμᾶν, ἑτέραν πολεμίων ἀκολασίας ἀπηλλαγμένους, ἄλλην ταραχώδεις φατρίας*(*) *πεπαυμένας.* [2] *Καὶ τὰς ἄλλας μὲν οὕτω πως θεωρῶ τῇ φαντασίᾳ, τὴν ἡμετέραν δὲ πόλιν ὑπονοῶ μειδιῶσαν ὁρᾶν, εἰ, παρεστηκυίας αὐτῆς, οἴεταί τις τὴν νικῶσαν ἁρπάσαι*(4) *καὶ μὴ λογίζονται πόθεν αὐταῖς γέγονεν εὖ παθεῖν· εἰ γὰρ μὴ τοῦτον ἐγὼ, φησὶν, ἐθρεψάμην*(5), *πῶς ἂν ὑμῖν ὑπῆρχε σωθῆναι;* [3] *Δίκαια τοίνυν λεγούσῃ ψηφίζομαι· πρὸς γὰρ τῷ μήτηρ εἶναι, καὶ μεγίστας περὶ αὐτὴν*(6) *προβάλλεταί σοι φιλοτιμίας*(7). [4] *Καὶ τί φησι; « Δύο*(8) *μάλιστα τρόποι*(9) *φρου-*

---

§ XI | 1. Résumé de l'éloge de Stéphanos.

2. Voy. le même procédé oratoire dans l'*Oraison funèbre de Marie*, p. 43, Boisson., *καὶ πρὸς τοσούτους αὐτῇ τῆς φιλανθρωπίας μεριζομένης, εἴ τις τὴν μεγίστην ἐκείνης εὐεργεσίαν ἐπιθυμήσας μαθεῖν, εἰς ἕν τι τῶν χωρίων τοὺς εὖ παθόντας συναγαγὼν, ἕκαστον ἔροιτο τίνα διὰ πλείονος ἤγαγε μᾶλλον εὐνοίας, ἑαυτὸν ἁπᾶς* (sic Boisson.) *ἐρεῖ.*

3. *μὲ* Ms (le *ν* n'a pas été mangé par un ver: il a été oublié par le copiste)

4. Cf. *Éloge de Marcien*, II, p. 119, l. 8, Boisson., *τῶν γὰρ ἰσορρόπων οὐ ῥᾴδιον ὅτῳ ψηφίσεται τὴν νικῶσαν εὑρεῖν:* Eustathe (*alias* Eumathe) le romancier, p. 9, *σὺ δ' ἂν εἰ δικαστὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ*

5. Stephanos était donc originaire de Gaza. Cf. 3, *πρὸς γὰρ τῷ μήτηρ εἶναι.*

6. *αὐτὴν* Ms.

7. Cf. *Oraison funèbre de Procope*, p. 23, l. 10, Boisson., *τὰς ἄρτι σοι πραχθείσας τῇ πόλει φιλοτιμίας.* On trouvera aussi à cet endroit-là de l'oraison funèbre de Procope quelques détails sur les embellissements de Gaza.

8. *δύο μάλιστα τρόποι φ. τ. π., ε. τ. θ. καὶ περίβολος ἀρραγής* (*ἀρραγὲς* Ms.) fragment *γ'*, chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voy. la note 9 du § III.)

9. Cf. *Tyrannicide*, p. 73, l. 11, Boisson., *εἰσὶ τρόποι παντοδαποὶ πρὸς ὄνησιν ἢ πρὸς εὐθυμίαν εὑρημένοι τῆς πόλεως, ἀριστεῖαι* (*ἀριστεῖαι* manuscrit: *ἀριστεῖα* Boisson.) *καὶ χορηγίαι καὶ τριηρῶν ἐπιδόσεις καὶ τὰ τούτοις προσεοικότα.* — Néanmoins *τρόποι φρουροῦσι* peut paraître suspect. Weil songe à *προστάται* et rapproche Eschyle, *Les Sept contre Thèbes*, 408, *τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων.*

* Voy. ci-après, p. 80, l. 14 d'en bas. H. G.

ροῦσι τὰς πόλεις, εὐμένειά τε Θεοῦ καὶ περίβολος ἀρραγής(10)· ὧν τὸ μὲν παρὰ σοῦ γέγονε, τὸ δὲ διὰ σοῦ· καὶ νῦν ἑκατέρωθεν ἀδεὴς ἐγενόμην, τοῦ μὲν τεμένους(11) εἰς εὔνοιάν μοι τὸ θεῖον ἐπισπωμένου, τοῦ δὲ τείχους (12) ἀκέραιόν με φρουροῦντος. [5] Τοιαύτας ἔχω, φησὶ, καὶ τοῦ μέλλοντος τὰς ἐλπίδας(13). Ἀπολήψεταί μοι τὸν ὄροφον ὁ βασιλέως ἐπώνυμος χῶρος(14), ἀπολήψεταί μοι τὸ λεῖπον ἡ πρὸς τὴν ὡραίαν γινομένη σκηνὴ, ἀνοίξω τοῖς ἐνοικοῦσιν ἕτερον χειμῶνος ὥρᾳ(15) λουτρὸν(16) καὶ μετοχετεύσω λουομένοις πότιμον ὕδωρ καὶ λίαν ἐπιτήδειον εὐεξίᾳ σωμάτων.» [6] Ταῦθ' ἡ(17) πόλις· ἐγὼ δέ σου τὰ πεπραγμένα θαυμάζων, καὶ τὴν τῶν ἔργων ἀποδέχομαι τάξιν, ὅτι τῷ περιβόλῳ τὴν πρώτην ἀπονείμας φροντίδα καὶ τὴν πόλιν ἀνάλωτον καταστήσας, οὕτω τῆς ἔνδον εὐπρεπείας ἐπεμελήθης, ἵνα μὴ τοῖς πολεμίοις καλλωπίσῃς τὴν πόλιν.

§ XII. Ἤκουσε τῶν πανταχοῦ σοι πεπονημένων ὁ βασιλεὺς ἀνδρῶν οὐδαμῶς οἷων τε ψεύδεσθαι· ἦν μὲν γὰρ ἡ πρεσβεία τρεῖς ἅμα τὸν ἀριθμὸν ἱερεῖς, ὁ δὲ τοὺς πρέσβεις ἐκπέμψας ἁπάντων ἱερέων ὁ κράτιστος(1). [2] Πῶς οὖν εἰκὸς βασιλέα διατεθῆναι πρὸς τὴν πρεσβείαν; ἢ δῆλον ὅτι(2) περιχαρῆ μὲν γενέσθαι,

---

10. ἀρογὴς (à ce qu'il semble) Ms.: ἀραγης Macarios Chrysocéphale (voy. ci-dessus la n. 8, et cf. la n. 9 du § III). [VIII. H, p. 20: ἀραγές. H. G.]

11. Il s'agit du temple dédié au martyr Sergios. Cf. plus bas, § XII, 4.

12. Dans les deux éloges de l'évêque Marcien, Chorikios attribue à cet évêque, sans faire même mention du gouverneur, tout le mérite de la reconstruction des remparts (voy. aux pages 81 et 111 de l'édition Boissonade).

13. Chorikios, après avoir parlé des premiers embellissements de Gaza, dirigés par l'évêque Marcien, disait de même, dans l'*Oraison funèbre de Procope* (p. 23, dernière ligne, Boisson.), καὶ μαντεύομαί γε πλείονά τε καὶ μείζω γενήσεσθαι τῶν γεγονότων. [On attendrait τοιαύτας δ'ἔχω κτλ. — Réd.]

14. Cf. *Oraison funèbre de Procope*, p. 7, l. 6, Boisson., ἡ μὲν Ἀντιόχου (κέκτηται) τὸν ὁμώνυμον χῶρον τῆς Ἀπόλλωνος ἐρωμένης, où Boissonade a mis cette note: «celeberrimum fuit Daphne suburbium Antiochiae.»

15. Cf. ὥρᾳ χειμῶνος, p. 114, l. 4 d'en bas, Boissonade.

16. Un premier établissement de bains avait été ouvert précédemment par l'évêque Marcien, comme on le voit dans l'*Oraison funèbre de Procope*, p. 23, l. 3 d'en bas, Boisson., τό τε λουτρὸν ἀνέῳκται διὰ σέ. Rien que le rapprochement de ces deux termes, τὸ λουτρὸν, ἕτερον λουτρὸν, suffirait à établir que l'*Éloge d'Aratios et de Stéphanos* est postérieur à l'*Oraison funèbre de Procope*. Du reste, il paraît probable que, du vivant de Procope, on n'eût pas pris l'élève de préférence au maître pour prononcer le discours dans une occasion aussi solennelle qu'était la réception des deux plus hauts personnages de la province.

17. Ταῦτα ἡ Ms.

§ XII.] 1. Cf. plus haut, § III, 2, τῷ χορυφαίῳ τῶν ἱερέων. Chorikios veut sans doute désigner par ces expressions le patriarche de Jérusalem.

2. Boissonade écrit ordinairement ἢ δῆλον ὅτι, sans être absolument constant avec lui-même (p. 65, l. 5 d'en bas, ἢ δῆλον ὅτι).

μηδαμῶς δὲ θαυμάζειν, εἰ τοιαῦτά σοι μαρτιροῦμεν· μείζονα γὰρ συνειδέναι σοι τοιούτων. [3] *Τί γὰρ τῶν σῶν ἐκεῖνος πλεονεκτημάτων* (3) *ἠγνόησεν; οὐ τῶν ἀποκρίσεων*(4) *αὐτῷ τὰς μεγίστας ὑπηρετεῖς; οὐ τοσαύτην ὀξύτητα ταῖς χρείαις εἰσάγεις, ὡς ἐννοεῖσθαί τινα· «Μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη, τῷ μύθῳ*(5)*;» οὐ τὴν φήμην ἀεὶ θοριβεῖς,* [fol. 36] *οὐδὲ χώραν αὐτῇ προξενῶν ὅλου γῆς εἴης*(6) *ἀγγέλλειν*(7)*;* [4] *Καὶ θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι νεὼς οὗτος ἐν ἄσει πολιτελὴς*(8)*, τοῦ μὲν ἱερέως*(9) *ἐπιμελείᾳ, σῇ δὲ φιλοτιμίᾳ μεγαλοπρεπῶς εἰργασμένος· περὶ οὗ τί ἂν μακρολογοίην εὐρυχωρίαν*(10) *ἢ κάλλος ἢ* (?) *πλακῶν ἀγλαΐαν*(11) *ἢ γραφικὴν ποικιλίαν ἢ ὡς ἐν καλῷ τοῦ ἄστεως*

---

3. *πλεονεκτημάτων*] Cf. § I, note 14.

4. *Ἀποκρίσις* signifie en grec byzantin *ambassade, commission, dépêche*. Voy p ex. Justinien, *Novelle* 123, chap. 25 et 36 *bis*; cf. Evagrios, *Histoire ecclésiastique*, IV, 38 (t. LXXXVI, col. 2776 A, collection Migne), *ταῖς γαρ ἀποκρίσεσι τοῦ Ἀμασείας ἐπισκόπου διηκονεῖτο* : Jean Moschos, t. LXXXVII, col. 2964 D, Migne, *ἀλλ' ὕπαγε, ποίησον ἀπόκρισιν*: col. 3009 A, *ἀποστέλλει τινὰ τῶν τὰς ἀποκρίσεις διακονούντων*: et col. 3096 A, *ἐπέμπετο εἰ, ἀποκρίσεις τοῦ κανσιβίου* ; St Dorothée, t. LXXXVIII, col. 1720 A, Migne, *ἐπειψέ με ὁ οἰκονόμος εἰς τήνδε τὴν ἀπόκρισιν*: Jean Malala, p. 130, l. 17, L Dindorf, *καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν*: Théophane, p. 295, l. 7, Classen, *ὁ τὰς βασιλικὰς ἀποκρίσεις ποιῶν βεριδάριος*: Constantin Porphyrogénète, *Cérémonies*, p. 76 C, Reiske, *ἐπέγκαντος ἀπόκρισιν τῷ πραιποσίτῳ*, et l'annotation de Reiske. Voy aussi les articles *Apocrisiarius*, dans l'*Onomasticon* de Rosweyd, *Vitae patrum*, Anvers 1628: *Ἀποκρισιάριος* (*legatus*), et *Ἀποκρισιαρίκιον* (*legatio*) chez Du Cange, *Glossar. med. et infim. graecitatis*: *Ἀποκρισιαρίος* (*messenger, ambassador*) chez Sophocles, *Greek Lexicon of roman and byzantine periods*, Boston 1870.

5. Cf. § V, 3, *κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ δοκῇ τὴν εὐκλειαν ἁρπάσθαι*, et la note afférente à ce passage.

6. Cf. § V, note 14, et § VII, note 8.

7. Chorikios loue Stéphanos de son activité prodigieuse. Il est, pour ainsi dire, partout à la fois. A la frontière d'Égypte, il châtie les brigands; il purge toutes les grandes routes de sa province des voleurs qui les infestaient; il prévient les séditions à Césarée, lieu officiel de sa résidence, et il y répare l'aqueduc; puis c'est Gaza, sa patrie, où il dirige les travaux de fortification, bâtit un temple magnifique; il en fête le couronnement par un banquet auquel les personnages marquants de toute la Palestine sont conviés. La renommée ne saurait dire, à un moment donné, où se trouve Stéphanos.

8. Peut-être: *καὶ θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον ⟨ὄν⟩ ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι⟨ν ὁ⟩ νεὼς οὗτος ἐν ἄσει πολιτελὴς κτλ.* [Pour οὗτος, cf Kruger § 14, 2, 2 H G]

9. *ὁ ἱερεύς*, c'est Marcien, évêque de Gaza. Chorikios composa plusieurs éloges de ce personnage, dont deux, qui nous ont été conservés, se trouvent chez Boissonade (p. 77 et 105).

10. Cf. *Éloge de Marcien*, I, p. 90, l. 13, Boisson , où Chorikios dit du même temple, *τοσοῦτον αὐτῷ μεγέθους περίεστιν, ὥστε πολλοὺς πολλαχόθεν ἐνθάδε συρρέοντας δύζειν ὀλίγων δοκεῖν, πολλῆς ἑκάστῳ προσούσης εὐρυχωρίας.*

11. *ἢ κάλλει πλα‖ ἀγλαΐαν* Ms. Cf. *Éloge de Marcien*, II, p. 116, l. 13

ἴδρυται ἢ ὅτι τοῖς γειτίοις (12) ἐπὶ μέγα χωρήσας τοὺς δεῦρο πορευομένους ψυχαγωγεῖ πόρρωθεν ἐμφαίνων τὴν πόλιν (13); [5] Τί ἂν ταῦτα μηκύνοιμι λέγων, οὐχ ὡς ἅπαντα πρῴην εἰπὼν, ἡνίκα τὸν ἱερέα σκοπὸν ἔστησά μου τοῖς λόγοις (14);

§ XIII. Ἀλλὰ τῇ γλώττῃ μετρήσας τὴν εὐφημίαν, ἐκεῖνο γοῦν (1) εἰς μέσον ἄγειν ἐθέλω· ἐπειδὴ γὰρ εἶχέ σοι πέρας τὸ τέμενος, ἑορτὴν ἀξίαν τῶν ἔργων ἐποίεις (2)· εἰς δὲ τὴν πανήγυριν ταύτην πάντας τοὺς ἐν τέλει συνήγαγες πολίτας θ' (3) ἅμα

---

et suiv., ὥστε ζωγράφων παῖδες . . . , εἴ που δέοιντο χιόνων εἰς μίμησιν ἢ πλαχῶν ἀγλαΐας, . . . καλῶν εὐπορήσουσιν ἐντεῦθε (il s'agit d'un autre temple de la même ville de Gaza) παραδειγμάτων. Chorikios se sert fréquemment du terme αἱ πλάκες pour désigner les marbres (p. ex. p. 89, l. 3, Boisson.: p. 90, l. 1: p. 113, l. 17: p. 115, l. 17: p. 116, ll. 7 et 10: p. 118, l. 5: etc.). Quant à la genèse de la leçon πλῶ, elle est toute simple à expliquer. Il faut se représenter que l'ω qui surmonte l'α cache un κ du type du xe siècle (*u*). — De plus, nous soupçonnons que sous la leçon altérée κάλλει, est dissimulée la leçon κάλλ^ο^ ῆ, que nous avons mise dans le texte.

12. τῆσι εἰς Ms.: ⟨τοῖς⟩ γειτίοις Tournier (ΓΕΙCΙΟΙC = ΤΗCΙΕΙC). — Cf. ce que dit Chorikios de la «coupole» de ce temple dans l'*Éloge de Marcien*, I, p. 88, l. 9, Boisson., καὶ δὴ πρὸς ἅπαντα λίαν ἐκπεπληγμένος, ἐπιεικῶς ἄγαμαι τοῦ τεμένους τῆς ὀροφῆς. (Suit la description de la coupole.)

13. Chorikios s'exprime ailleurs dans les termes suivants à propos de ce même temple: Ἐνταῦθά τις πάλιν ἐμοὶ καταλεγέτω τὰς πόλεις ὅσαις ὄνομα γέγονεν ἐξ ἀνακτόρων κατασκευῆς, τῶν μὲν ἐν καλῷ κειμένων τοῦ ἄστεως (ἄστεος Boisson.), τῶν δὲ λίθων αὐγαῖς ἀστραπτόντων, ἑτέρων ἐκ μεγέθους βεβοημένων, ἄλλων γραφῆς ἀγλαΐᾳ λαμπόντων. Τὰ γὰρ ἅπασι τοῖς ἄλλοις μεμερισμένα ταῦτα συλλήβδην ἔχει τὸ τέμενος. (*Éloge de Marcien*, I, p. 90, Boissonade.) — Αἱ δὲ πλευραὶ τῶν στοῶν, αἱ μέν εἰσι τοῖχοι, πλάκας ἡμφιεσμένοι, τῇ μὲν τέχνῃ μιᾷ συνεχομένας ἁρμονίᾳ, τῇ δὲ φύσει τῆς ὕλης ἴσα καὶ γραφικῇ ποικιλίᾳ κεκοσμημένας· οἱ δὲ κίονες καὶ πρὸς ἀλλήλους καὶ πρὸς αὐτὸν ἕκαστος μιᾷ χρώμενοι συμφωνίᾳ κτλ. (*Ibid.*, p. 85, au bas de la page.) — Τοὺς . . . ἐκ τῶν βαναύσων ἀποτρεφομένους τὸν νεὼν κοσμεῖν οἷς ἕκαστος δύναται, καὶ τεκταίνεσθαι μὲν τοὺς τοῦτο μεμαθηκότας, βιάσασθαι δὲ μαρμάρων ἀνωμαλίαν τοὺς τοῦτο πεπαιδευμένους, καταποικίλαι δὲ τοὺς γραφέας ἱστορίαις παντοδαπαῖς. (*Ibid.*, p. 83, ll. 13 et suiv.) — Chorikios consacre encore en passant un alinéa à la description du même temple, dans le second *Éloge de Marcien*, p. 112, où on lit (l. 5 d'en bas), ὕψους, εὐρυχωρίας, φωτὸς, χρωμάτων ποικίλων, σχημάτων οἰκοδομίας παντοδαπῶν, τούτων ἁπάντων ὁμοῦ, μᾶλλον δὲ μέρους ἑκάστου κατέχειν ἀρχοῦντος τὸν θεατήν.

14. Allusion au λόγος πρῶτος εἰς Μαρκιανὸν Γάζης ἐπίσκοπον, ἐν ᾧ καὶ ἔκφρασις ναοῦ τοῦ ἁγίου μάρτυρος Σεργίου (p. 77 et suiv., Boisson.).

§ XIII.] 1. γοῦν] δ' οὖν Ms.

2. Voy. une brillante description de cette fête, banquets publics en plein air, décoration du champ de fête, installation de marchands forains, illuminations, noms des autorités écrits en lettres de feu, bals de nuit, etc., vers la fin de l'*Éloge de Marcien*, I, aux pages 100 et suivantes.

3. τε Ms.

κἀστυγείτονας (4) . . . . . *οἷς* (5) *ἡ Καίσαρος* (6) *ἐναβρύνεται, ἑστιῶν* (7) *δ' αὐτοὺς καὶ φιλοτησίας προτείνων* (8) *καλὴν ἐνεδείξω πρὸς ἅπαντας δεξιότητα* (9), *μὴ ζηλώσας ἐκεῖνον τὸν κατηφῆ καὶ σύννουν* (10) *Ἐπαμεινώνδαν.* [2] *Λέγεται γὰρ Θηβαίων ἀγόντων πάνδημον ἑορτὴν καὶ διημερευόντων οἷον εἰκὸς ἐν εὐωχίαις καὶ κώμοις, ἐρομένου τινὸς τί δὴ μόνος οὐ μετέχει τῆς ἡδονῆς καὶ τί ποτ' εἴη πεφροντικώς, ἀποκρίνασθαι ὅτι* (11) *τῶν κοινῶν ἐπιμελοῖτο πραγμάτων.* [3] *Οὗτος ὁ λόγος ἀγνοοῦντα τὸν Θηβαῖον ἐλέγχει τὴν πρὸς τὸ Ἱππονίκου μειράκιον* (12) *συμβουλὴν, ὡς ἀπειρόκαλον* (13) *παρὰ τὰ γελοῖα σπουδάζειν* (14). [4] *Οὐ μὴν τὸ σκυθρωπὸν Ἐπαμεινώνδου φυγὼν τὴν ἀνελεύθερον Ἀλεξάνδρου τρυφὴν ἐμιμήσω, ὃς ἐν πότῳ τινὶ τὴν λύραν ἀναλαβὼν συνῇδε τοῖς κρούμασιν* (15), *ὥστε καὶ ἀπέσκωψεν εἰς αὐτὸν ὁ πατὴρ εἰ μὴ* (16) *καταδύοιτο κιθαρίζων.* [5] *Σὺ δὲ, τοῦ μὲν τὴν ἀκέραιον* (17)

---

4. Le même fait est relaté au début de l'*Éloge de Marcien*, I, p. 79, Boisson., *ὅση μὲν ἐφοίτησεν εὔκλεια πανταχοῦ καταπλήττουσα τῷ τεμένει τὰς ἀκοὰς, ἔργῳ μαρτυροῦσιν αἱ πόλεις, ἐπὶ θέαν ἐκπέμψασαι τὰ τέλη τῶν οἰκητόρων.* — Cf., pour l'expression, *Oraison funèbre de Marie*, p. 42, l. 2, *ταῦτα τῶν ἀστυγειτόνων ἐκίνησε τὰ τέλη.*

5. *καὶ ἀστυγείτονας οἷς* (sans trace de lacune) Ms. première main. *καὶ ἀστυγείτονας καὶ οἷς* seconde main.

6. *ἡ Καίσαρος*, Cesarée, la métropole de la province de Palestine première. Expression fréquente chez Chorikios; (p. ex. § VIII, 1 : § X, 6 : *Oraison funèbre de Procope*, p. 6, l. 3 d'en bas, Boisson.).

7. Voy. ci-dessus, la note 2.

8. Il faut sans doute corriger ici *προπίνων*, comme ont fait Gesner et Cobet dans ce passage de Lucien (*Vœux*, 39), *χρυσᾶ ἐκπώματα προπίνων* (*προτεινόμενος* ou *προτείνων* Mss.) *τοῖς συμπόταις* (voy. l'éd. de Fritzsche). Cf. Démosthène, *Ambassade*, § 139, p. 384, 13, Reiske, *ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς*, où plusieurs Mss. présentent la leçon *προὔτεινεν* : mêmes variantes, *ibid.*, § 125, p. 380, fin, et ailleurs. Sur cette confusion fréquente, voy. aussi Cobet, *Novae Lectiones*, p. 393.

9. Cf. *Mimes*, (discours inédit), fol. 156, [ci-dessous, p. 55, l. 12] *τῆς ἐν τοῖς πότοις αὐτοῦ* (c.-à-d. *Φιλίππου*) *δεξιότητος, ἀγασθέντες*. Théophylacte Simocatta, IV, 10, p. 179, l. 14, Bekker, *δεξιότητι καὶ φιλοφρ. σύνῃ τοῦτον ἐξένισεν.*

10. Cf. *Éloge de Marcien*, II, p. 122, l. 10, Boisson., *τίς γὰρ νῦν οὕτω σύννους ἀνὴρ καὶ σκαιὸς κτλ.*

11. *ἀποκρίνασθαι ὅτι.* La pause peut justifier l'hiatus; et Homère élide *αι*.

12. Le fils d'Hipponique, c'est Démonique. (Voy. ci-dessous la note 14.)

13. *Ἀπειρόκαλον = σπουδάζειν*, fragment *ιδ'* chez Boissonade, p. 283. Villoison, premier éditeur de ce fragment, avait proposé à tort de lire *περὶ τὰ γελοῖα*.

14. Isocrate, *Démonique*, § 31, p. 8 E, Estienne, *μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.*

15. *κρούσμασι* Ms. Cf. *Oraison funèbre de Procope*, p. 6, l. 9, Boisson., *κρούμασι θελγων τοὺς κάτω θεούς.*

16. Sur *εἰ μὴ* interrogatif, voy. Krüger, *Gramm. gr.*, § 67, 8, remarque.

17. Cf. *Description de l'horloge*, p. 152, l. 3 d'en bas, Boisson., *οὐδὲ τὰς*

σεμνότητα καταγνοὺς, τοῦ δὲ τὸ περιττῶς ἁβροδίαιτον, ἀστειοσύνην τινὰ σεμνότητι συνεκέρασας(18), *ἀμφότερα τῷ καιρῷ συμβαίνοντα πράττων, τοῦ μὲν ὁσίου τῆς ἑορτῆς τὸ σεμνὸν βουλομένου, τοῦ δὲ λαμπροῦ καὶ φαιδρόν τι προσαπαιτοῦντος.*

§ XIV. *Ἔστι τοίνυν τῆς αὐτῆς εὐσεβείας τεμένη δημιουργεῖν καὶ τοὺς ταῦτα διαφθείροντας τιμωρεῖσθαι· τοῦτο δὴ τοῦ στρατηγοῦντος τὸ τρόπαιον*(1). [2] *Σκοπεῖτε γὰρ·*(*) *νῆσος ἔστιν ὄνομα μὲν Ἰωτάβη* (2), *τὸ δ' ἔργον αὐτῆς ὑποδοχὴ φορτίων τῶν Ἰνδικῶν, ὧν μέγας φόρος τὰ τέλη· προσοικοῦσι δ' ἄνδρες αὐτὴν, ἀνόσιον*

Ἀμαζόνας ἀχεραίους ἀφῆκεν (*Ἡρακλῆς*).

18. Cf. *Éloge de Marcien*, I, p. 102, l. 2 d'en bas, Boisson., *τοῖς ἀστειοτέροις τῶν πολιτῶν* (il s'agit des habitants de Gaza) *τὸ σεμνὸν ἐπανθεῖ.*

§ XIV.] 1. L'orateur revient aux exploits du duc.

35. «Ἑλένης γάμος (Σατυρικός). Aristides, vol. II, p. 307 (cujus verba repetivit Photius B.bl., p. 438, 6), αὐτὴν μὲν γὰρ ἐν ἴδιοις τὴν Ἑλένην, Ἑλένην λέγω, θεράπαιναν μὲν οὖν οἵαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους. Satyri igitur hujus dramatis, ut monet Nauckius, quum Helenam conspexerunt, turpi libidine inflammantur.» (G. Dindorf, *Poet. scenic. graec.*, ed. V, *Σοφοκλ. ἀποσπάσμ.*, p. 130.)

§ VII.] 1. Sur la présence des jeunes filles et des femmes à ces représentations, cf. Tertullien, *De spectaculis*, § 21, édit. Klussmann (1877), «*ut* »*et qui filiae virginis ab omni spurco verbo aures tuetur, ipse eam in thea*»*trum ad illas voces gesticulationesque deducat*» etc., et Lactance cité dans la note 2 du § VI. De même Plutarque, *Problèmes symposiaques*, VII, 4, 4, p. 712 E, (il vient de dire qu'on divisait les mimes en *ὑποθέσεις* et en *παίγνια*: voy. ci-dessous § VIII, note 11), *τὰ δὲ παίγνια, πολλῆς γέμοντα βωμολοχίας καὶ σπερμολογίας, οὐδὲ τοῖς τὰ ὑποθήματα κομίζουσι παιδαρίοις — ἄ γε δή* (lire *ἄν* au lieu de *δή*?) *δεσποτῶν ἢ σωφρονούντων — θεάσασθαι προσήκει· οἱ δὲ πολλοὶ καὶ γυναικῶν συγκατακειμένων καὶ παίδων ἀνήβων ἐπιδείκνυνται μιμήματα πραγμάτων καὶ λόγων ἃ πάσης μέθης ταραχοδέστερον τὰς ψυχὰς διατίθησιν.*

2. Remarquez que ces représentations avaient lieu après le coucher du soleil. Cf. § XIII, 2, *τὴν ἔναγχος θέαν . . . ἐν πανηγύρει δημοτελεῖ νύκτωρ ἀχθεῖσαν*. On pourra comparer, dans l'*Éloge de Marcien*, I, p. 100 et suiv., Boissonade, la description d'une fête où il est question de bals de nuit avec illuminations. Cf. Hérodien, V, 6, 6, *πανηγύρεις τε παντοδαπὰς συνεχρῶτο, ἱπποδρόμους τε κατασκευάσας καὶ θέατρα διά τε ἡνιοχείας καὶ πάντων θεαμάτων καὶ ἀκουσμάτων πλείστων εὐωχούμενον τὸν δῆμον καὶ παννυχίζοντα εὐφραίνειν ᾤετο.*

3. Cf. § XII, 7, note 5.

πολλαῖς εὐγενείας (4) τε καὶ πλούτου φερούσαις τὰ πρῶτα· κοὔτε κόρην πατὴρ οὔτε σύνοικον ἀνὴρ ἀποτρέπει. [3] Τίς δ' οὐκ ἂν διεκώλυεν, εἰ τὴν θέαν ἦθος ᾤετο διαφθείρειν (5); [4] Εἰ δὲ μέμφῃ τοὺς ἄνδρας ὅσοι προϊέναι καὶ θεωρεῖν ταῖς αὐτῶν ἐνδιδόασι γυναιξὶν, ὑπολαμβάνων, εἰ τὴν οἰκίαν αὐταῖς δεσμωτήριον καταστήσεις, μεγίστην εἶναι φρουρὰν σωφροσύνης, τραγικὴν ἄκουε ῥῆσιν ἐναντία σοι λέγουσαν (6)·

τὸ μὲν μέγιστον οὔποτ' ἄνδρα χρὴ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων·
ἑρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,
ἑρᾷ δ' ἀκούειν ὧν φυλάττεται κλύειν (7),
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη (8)
βλέπουσά τ' εἰς πᾶν (9) καὶ παροῦσα (10) πανταχοῦ,
τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν.

[5] Ἀκούεις ἀνδρὸς μισογύνου καὶ σώφρονος οἷα τοὺς γήμαντας νουθετεῖ. [6] Ἀλλὰ μὴν (11) αὐτῶν ἂν ἴδοις τῶν μίμων τινὰς ἐλευθέρως οὕτω διακειμένους ὥστε, τῶν ἀστειοτέρων ἐς τὰς οἰκίας πυκνῶς εἰσιόντες ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα, οὐδὲν ἄτοπον οὐδαμοῦ πράξαντες ὤφθησαν. [7] Ὅπερ οὖν ἀσκῶν τις ἐπιμελῶς οὐ βλάπτεται τὴν ψυχὴν, τοῦτο πῶς ἄν τις βλάπτοιτο θεωρῶν; [8] Οἶμαι τοίνυν κἀκεῖνο πρὸς οὐ μικρὰν τείνειν μίμων συνηγορίαν, ὅτι γυναῖκας οἱ πλείους ἄγονται καὶ παιδοποιοῦνται κατὰ τοὺς νόμους, κοὐκ ἀνέγκλητον οὐδενὶ μίμου γυναῖκα μοιχεύειν, κἂν ἁλῷ τις τοῦτο πεποιηκὼς, ⟨δώσει δίκην οὐκ⟩ ἐλάττω τῆς ἐπὶ τοῖς ἄλλοις μοιχοῖς ὡρισμένης, οὐδὲ λέξει πρὸς τοὺς δικάζειν λαχόντας· «ἄνδρες δικασταὶ, οὗτός με ταῦτα πράττειν ἐδίδαξεν· οὗτος τὴν ἰδίαν ἐπαίδευσε σύνοικον μηδὲν οἴεσθαι χαλεπὸν εἶναι μοιχείαν.» [9] Οὐχ οὕτως ἀπολογήσεται· λέγοντος γὰρ ἀκούσεται τοῦ κατηγόρου· «Ἄνθρωπε, οὐδὲ τὸν ἐπὶ σκηνῆς τὴν δοκοῦσαν μοιχεύοντά μου γυναῖκα περιορῶ,

---

4. εὐγενείαις Ms. — Dans la phrase suivante, διεχώλυσεν Ms.

5. Cf. § VI, 7, σκιαγραφίαν δὲ μοιχείας ἦθος ἡγῇ διαστρέφειν.

6. Les vers qui sont cités ici par l'orateur se lisent — à la réserve du quatrième — chez Stobée, *Florilège*, LXXIV, 27 (27ᵃ, édit. Meineke), où ils font partie d'un morceau de dix-huit vers attribués à Ménandre. (Voy., à ce sujet, l'Introduction qui précède ce discours, pages 36 et 37.)

7. Ce vers n'est pas donné par les manuscrits de Stobée. — κλυϵ|ν Ms.

8. ἀναστρεφομένη Ms.: ἀναστρωφωμένη (ἀναστρεφομένη A. B. ἀναστροφωμένη Voss. Trinc.) Stobée.

9. εἰς ἅπαν Ms.: εἰς πᾶν Stobée.

10. παθοῦσα Ms.: παροῦσα Stobée.

11. μὴν] μὲν Ms. — Ligne suiv., peut-être faut-il corriger ἐλευθερίως.

ἀγανακτῶ δὲ καὶ δεινά φημι πεπονθέναι καὶ "κάλει παῖδα" καὶ "μάχαιράν τις φερέτω". [10] Πρίσεισιν οἰκέτης ἔχων τὸ προσταχθέν (12)· εἶτα βοιλήν τινα δοὺς ἐμαυτῷ καὶ δεινὸν ἡγησάμενος αὐτοχειρίᾳ τὴν τιμωρίαν λαβεῖν, ἀμφοτέροις εἰς δικαστήριον ἄγω (13). »

§ VIII. Πόθεν οὖν τὸ πρᾶγμα κακῶς δίκαιον λέγειν; ὡς, εἰ πρὸς εὐκοσμίαν ἐπίβουλον ἦν, οὐ πάροδον εἶχεν ἐν Λακεδαίμονι (1) — φασὶ δὲ (2) τοὺς ἄνδρας μηδὲν ἄσχημον πράττειν ἐπιμελεῖσθαι καὶ τρόπων κοσμιότητι καλλωπίζεσθαι μᾶλλον ἢ τῇ περὶ τοὺς ἀγῶνας ἀνδρίᾳ —, οὐ πόλει βασιλευούσῃ (3) περισποίδαστον ἦν. [2] Ἐκείνη γὰρ ὅσους τῶν μίμων αὐτῇ διαπρέπειν ἡ φήμη χαρίττει, κἂν πόρρω που τίχωσιν ὄντες, πρὸς ἑαυτὴν ἐφέλκεται καὶ καλεῖ· καὶ δεῖγμα σαφὲς ἡ τῶν ἀδελφῶν ξυνωρὶς (4) [fol. 136] πατρίδα καὶ τροφὸν κτησαμένων τὴν πόλιν (5), οὐ πάλαι πέρας τοῦ βίου λαχόντων. [3] Καὶ σεμνύεται μὲν ἡ πέμψασα πόλις,

---

12. Démosthène, *Ambassade*, § 197, p. 402, à la fin, ὕβριν τὸ πρᾶγμ' ἔφασαν οἱ τοῖ καὶ ὁ Φρύνων καὶ οὐκ ἀνεκτὸν εἶναι ...., καὶ «κάλει παῖδα» καὶ «ἱμᾶντά τις φερέτω». Ἦκεν οἰκέτης ἔχων ῥυτῆρα.

13. Les dénoûments tragiques n'etaient pas de mise dans ce genre de pièces. Cf. § VI, 8, et la note 5.

§ VIII] 1 Athénée, *Banquet des Sophistes*, XIV, p. 621 D-E, παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὡς φησι Σωσίβιος, οὐκ ὄψιαν ἀποδιδοὺς, ἀπὸ δὴ καὶ τούτοις τοὺς λιτοὺς τῆς Σπάρτης μεταδιωκούσης. Ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ (lire τῳ ou τινι?) λέξει κλέπτοντάς τινας ὑπωρανῆ, ἢ ξένιον ἰατρὸν κτλ..... Ἐκαλοῦντο δ' οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δικηλισταὶ ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς.

2. δὲ] corrigez γάρ.

3. Par les mots πόλει βασιλευούσῃ l'orateur veut sans doute désigner Constantinople. Un statère d'or de Chersonèse Taurique, frappé en l'an 75 de notre ère, et publié pour la premiere fois exactement, par A. de Sallet dans la *Zeitschrift fur Numismatik*, t. IV, 3e liv., p. 273 sv., porte, au lieu de l'épithete ΕΛΕΥΘΕΡΑC (se rapportant à la ville) qu'on trouve ordinairement sur les monnaies de Chersonese, la legende, unique jusqu'à ce jour, ΒΑCΙΛΕΥΟΥCΗC·ΕΤΟΥC ΡΘ (ces derniers mots, ἔτους ῥϑ', signifient l'annee 109 de l'ère propre à cette ville), à propos de laquelle de Sallet fait l'observation suivante. «Ein Stadtbeiname βασιλεύουσα ist » nach allem, was ich von Fachmännern erfahren konnte, unerhört. » Cf. L. Dindorf au *Thesaurus*-Didot, t. II, col. 169: «Ἡ βασιλεύουσα πολις, de » Roma Athen., 3, p. 98 c, ab Schweigh. indicatus, Malalas, p. 254, 4, » idemque de Cpoli p. 323, 8; 353, 11. Et omisso πόλις Leo Diac., p. 110, 20. » Hase, *Notae in Leon. Diac.*, sur p. 15, 3: «τῆς βασιλευούσης ἐπισκοπῆς, in concilio generali vii. V. 1466. D.] Corrige ex Photii epistolis 5. A. τῆς βασιλευούσης ἐπίσκοπος, episcopus reginae urbium, hoc est Constantinopolitanus. »

4. Cf. *Eloge d'Arsénios*, § I, 2, et la note. — Nous ne savons quels sont les deux acteurs de qui il est question ici.

5. την πολιν, c'est-à-dire probablement Gaza, où le discours doit avoir été prononcé.

ἥδεται δ' ἡ τυχοῦσα τοῦ δώρου, ἡ μὲν ὡς οὐ βραχύ τι κερδάνασα, ἡ δ' ὡς οὐ μικρόν τι δωρησαμένη. [4] Εἰκότως· οὐδὲ βασιλεὺς γὰρ ἀποδοκιμάζει τὴν θέαν, ἀλλὰ παρὰ τὴν τοῦ χειμῶνος ἀκμήν, ἐν ᾗ Ῥωμαῖοι τὴν πάτριον ἄγουσιν ἑορτήν, ἐνιαυτοῦ τοῦ μὲν πεπαυμένου, τοῦ δ' ἀρχομένου (6), ἡνίκα νόμος αὐτῷ τοῖς ἐν τέλει συνεστιᾶσθαι (7), ἡδίω τὴν εὐωχίαν ἡγεῖται θεάματι γίνεσθαι (8) μίμων. [5] Τοιγαροῦν τελεῖται μὲν ἐν βασιλείοις, πάρεστι δὲ τὸ βασιλικὸν ἅπαν συνέδριον, προκαθημένου τοῦ τὰ σκῆπτρα λαχόντος (9)· οὐ μίαν δὲ μόνον ἢ δευτέραν ἢ τρίτην ἑωρακότες ἡμέραν ἐμπίπλανται, κἂν διπλασιάσῃς τὸν ἀριθμὸν, ἄλλης ἔτι μιᾶς προσδεήσει. [6] Μισθὸν δὲ τῆς θυμηδίας αὐτοῖς βασιλεὺς νέμει φιλοτιμίας ἐκείνῳ πρεπούσας (10). [7] Καίτοι Φιλίππου, φησὶ, κατηγόρησε Δημοσθένης ὅτι μίμους γελοίων ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει (11). [8] Ἐπειδὴ παρὰ (12) τὰ σπουδαῖα (13) τοῖς γελοίοις ἐχρῆ-

---

6. Cf. *Odyssée*, XIV, 162, τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.

7. Chorikios fait allusion à la fête des *Brumalia*, dont la *Chronique pascale* (p. 211 - 213, édit. L. Dindorf) fait remonter l'institution à Romulus. Cf. Ovide, *Fastes*, 163-164:

Bruma *novi prima est veterisque novissima solis:*
Principium capiunt Phoebus et annus idem.

Sur les divertissements, souvent accompagnés de scandale, donnés par les empereurs d'Orient à propos de cette fête, cf. Concile de l'an 706 dit *Concilium Trullanum*, canon 62 (Hardouin, *Acta concil.*, t. III, col. 1684); Etienne le diacre (IXe siècle) dans la *Patrologie Grecque-Latine* de Migne, t. C, col. 1169 B; Théophane continué, pp. 456 et suivante. Le manuscrit N-101 de la *Biblioteca Nacional* de Madrid contient, entre autres pièces inédites de Chorikios, εἰς τὰ τοῦ βασιλέως Ἰουστινιανοῦ βρουμάλια (voy. le catalogue d'Iriarte, à la p. 399). Cf. dans Bergk, *Poetae Lyrici Graeci*, p. 1097, éd. III, εἰς τὰ βρουμάλια Ἀχολούθου (Weil a corrigé Κολούθου) τοῦ γραμματικοῦ: et *ibid.*, p. 1079, la mention d'Aréthas, εἰς τὰ τοῦ Λέοντος τοῦ βασιλέως βρουμάλια, et de Λέοντος ποιητικοῦ καὶ φιλοσόφου ἀναχρεόντιον εἰς (lire εἰς τὰ ?) βρουμάλια τοῦ Καίσαρος Βάρδα.

8. γενέσθαι Ms. — Sur τελεῖται (même ligne), cf. § V, 2, et la note 2.

9. Cf. *Éloge d'Aratios*, § I, 6, ἕνεκά γε τοῦ τὰ σκῆπτρα λαχόντος.

10. Tandis que Chorikios vante ici la libéralité de l'empereur envers les mimes et nous représente leur art comme jouissant de la plus grande faveur dans la capitale et à la cour, Procope dit expressément que Justinien, par esprit d'économie, laissa tomber le théâtre dans la plus complète décadence. *Histoire secrète*, 26, τά τε γὰρ θέατρα..... ἐκ τοῦ ἐπιπλεῖστον ἅπαντα ἤργει· οὐ δή οἱ τὴν γυναῖκα τετέχθαι τε καὶ τετράφθαι καὶ πεπαιδεῦσθαι ξυνέβαινεν· ὕστερον δὲ ταῦτα δὴ ἀργεῖν ἐν Βυζαντίῳ ἐκέλευσε τὰ θεάματα, τοῦ μὴ τὰ εἰωθότα χορηγεῖν τὸ δημόσιον πολλοῖς τε καὶ σχεδόν τι ἀναρίθμοις οὖσιν οἷς ἐνθένδε ὁ βίος. Il paraît donc nécessaire d'admettre que le présent discours a été prononcé, soit avant l'avénement de Justinien au trône, soit pendant les premières années de son règne.

11. Démosthène, 2e *Olynthienne*, § 19, p. 23, μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ἀσμάτων..., τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. Cf. Zosime, 4, 33, μῖμοί τε γὰρ γελοίων καὶ οἱ κακῶς ἀπολούμενοι ὀρχησταὶ καὶ πᾶν ὅ τι πρὸς αἰσχρότητα καὶ τὴν ἄτοπον ταύτην καὶ ἐκμελῆ συντελεῖ μουσικὴν ἠσκήθη τε ἐπὶ τούτου (sous Théodose) κτλ.: Plutarque, *Problèmes symposiaques*, VII,

το, πολλῶν αὐτῷ πολέμων συνεστηκότων. [9] Ὅτι γάρ τις καὶ γελοίων ἐστὶ καιρὸς, αὐτοῦ μοι τοῦ Δημοσθένους μάρτυς ὁ παιδευτὴς (14), τὸν Ἱππονίκου παῖδα (15) γελοίων ἀκροᾶσθαι προτρέπων, εἰ (16) μὴ καιρὸς ἦ σποιδαίων (17). [10] Ἔτι τοίνυν οὐ θεωροῦντα μέμφεται Φίλιππον, ἀλλ' ὅτι, φησὶν, ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. [11] Οὔκουν τὴν θέαν ἁπλῶς, τὸ δὲ τούτοις ἀεὶ συνδιατρίβειν ἐν μέρει ποιεῖται κατηγορίας· δεῖ γὰρ οὔτε στέργειν τοσοῦτον ὅσον καὶ συνοικεῖν, οὔτε τοσοῦτον μισεῖν ὅσον καὶ τὴν θέαν ἐκκλίνειν· τὸ μὲν γὰρ ῥᾴθυμον, τὸ δὲ σκιθρωπόν. [12] Εἰ δέ με χρὴ (18) κατόπιν τῆς ἀληθείας τάξαι τὸν ῥήτορα καὶ τῆς πρὸς ἐκεῖνον αἰδοῖς περὶ πλείονος ταύτην ποιήσασθαι, φαίην ἂν ὡς τὰ μὲν ἀθυμοῦντα τὸν δῆμον παραμυθούμενος, τὰ δὲ τὸν Μακεδόνα μισῶν, ἐλοιδόρει τοὺς ἐκείνῳ συνόντας· ἐπεὶ, κατά γε κρίσιν ὀρθὴν, Φιλίππῳ μοι κοσμεῖ τὴν ὑπόθεσιν, ὃν αὐτὸς εἰς ἔλεγχόν μοι προσφέρεις. [13] Ὁ γὰρ ἀνὴρ, εἰ μὲν ὕπτιος ἦν τις καὶ πάντα τὸν βίον ἀργίᾳ καὶ τρυφῇ δεδωκὼς καὶ βραχὺ φροντίζων εὐκλείας, ἦν ἀπόδειξις ἐναργὴς τοῦ μεστὸν αἰσχύνης εἶναι πρᾶγμα τοῖς μίμοις· οἷος (19) γὰρ πέφυκεν ἕκαστος, τοιούτοις χαίρει συνών. [14] Ἐπεὶ δὲ τὴν δόξαν (20) ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρεῖτο, κατὰ τὴν αὐτοῦ δυσμενοῖς μαρτυρίαν, καὶ πᾶν ὅπερ ἤθελε μέρος ἡ τύχη τοῦ

4, 3 et 4, p. 712 E, *οὐκοῦν... μῖμοί τινές εἰσιν, ὧν τοὺς μὲν ὑποθέσεις, τοὺς δὲ παίγνια καλοῦσι*. Ulpien, sur le passage de Démosthène cité dans cette note, *μῖμοι γελοίων*: *ἀναγκαιον τὸ τῆς προσθήκης· οὐχ ἅπασα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ' ἔστι καὶ σπουδαία. Ἡ μὲν γὰρ τραγῳδία μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν βασιλικῶν, καὶ ἡ κωμῳδία μίμησις, καὶ οἱ μῖμοι Σώφρονος σποιδαῖοι*. L'expression *μῖμοι γελοίων* se retrouve encore dans un passage de saint Grégoire de Nazianze cité à la note 3 du § XIX.

12. *ἤ* Ms. = *παρὰ*?

13. Cf. *Éloge d'Aratios*, § XIII, 3, et les notes afférentes au passage, voy. ci-dessous la note 17.

14. On voit que Chorikios était de ceux qui admettaient que Démosthène avait reçu directement les leçons d'Isocrate.

15. Le fils d'Hipponique, c'est Démonique (voy. la note 17).

16. *εἰ*] *ἦν*?

17. Isocrate, *Démonique*, § 31, p. 8 E, Estienne, *μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον παντὸς λυπηρόν*.

18. *εἰ δὲ μέχρι* Ms.

19. Fragm. οϑ', chez Boissonade, p 296: *οἷος πέφυκεν ἕκαστος τοιούτοις χαίρει συνών* (cf. ci-dessus la note 11 du § VI, au *Nota*); et en note: « Noti versus Euripidis in Stobaei Appendice, p. 19, et in Hermogenis Prog. » c. 4, ex Phoenice Fr. 9: *ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ ‖ οὐ πώποτ' » ἠρώτησα, γιγνώσκων ὅτι ‖ τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.* » (Ce sont les vers 7-9 du n° 809 des *Euripidis fragmenta*, rec A. Nauck. Lipsiae 1869. Ils sont cités par Démosth., *Ambassade*, § 245, p. 417.)

20. Démosthène, 2e *Olynthienne*, § 15, p. 22, *δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος*.

σώματος ἑτοίμως ἐκείνῃ προεῖθ' ὥστε τῷ λοιπῷ σεμνῶς βασιλεύειν (21), πῶς ἂν, εἴπερ ἄδοξον ἦσαν οἱ μῖμοι, τούτοις ἐκεῖνος συνῆν ἄνθρωπος, ὑπὲρ εὐδοξίας ἠκρωτηριασμένος εἶναι μᾶλλον ὑπομείνας ἢπερ ὅλος διάγειν ἀσχήμως; [15] Ἐξ αὐτοῦ τοίνυν Φιλίππου πάρεστιν ἀμφότερα γνῶναι, ὡς δεῖ μὲν εὐκλείας ἐρᾶν, καὶ σωτηρίας αὐτὴν (22) ἔμπροσθεν ἄγειν, καὶ δρέπεσθαι πόνοις καὶ κινδύνοις τὸ κτῆμα, δεῖ δὲ καὶ τῆς ἐκ τῶν μίμων ἀναπαύλης μετέχειν. [16] Ἔστι γὰρ, ἔστιν ἅμα τῇ θυμηδίᾳ ἦθος (23) ἐντεῦθεν ἀναλαβεῖν τοὺς συνόντας εὐφραῖνον καὶ σκωμμάτων χάριν ζηλῶσαι. [17] Τοιγαροῦν τῶν Ἀθηναίων οἱ πρέσβεις, οὓς ὑπὲρ εἰρήνης ἡ πόλις ἀπέστειλεν, οὐ τὴν ἐν τοῖς πράγμασι μόνον Φιλίππου δεινότητα θαυμάσαντες ἐπανῆλθον, ἀλλὰ καὶ τῆς ἐν τοῖς πότοις αὐτοῦ δεξιότητος (24) ἀγασθέντες, ὥστε τὸν ἐν ἐκείνοις πρεσβύτατον (25) εἰπεῖν ὡς τυγχάνοι μὲν εἰς μακρὸν ἤδη γῆρας ἐλάσας, οὔπω δ' οὕτως ἡδὺν κἀστεῖον ⟨ἄνθρωπον⟩ (26) ἑωρακὼς εἴη. [18] Οὕτω φιλοπονίας καὶ χάριτος ὁ Μακεδὼν εἰς ἄκρον ἀφίκετο, καὶ οἴκοθε (27) μὲν, ὡς εἰκὸς, ἐπαφρόδιτος ὤν, προσλαβὼν δέ τι (28) καὶ τῇ θέᾳ τῶν μίμων. [19] Ἔστιν ἄρα πρόθυμόν τ' εἶναι καὶ κτήσασθαι δόξαν . . . . . μίμων (29) κεὐφροσύνην μὴ ζημιοῦσθαι (30)· ταῦτα γὰρ ἅπαντα Φιλίππῳ προσῆν. [20] Ἀλλ', εἰ δοκεῖ, Φίλιππον καὶ Μακεδονίαν ἀφέντες — ἱκανὰς (31) γὰρ ἡμῖν ἐχορή-

---

21. Démosthène, *Couronne*, § 67, p. 247, *πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο προϊέμενον ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν*. La vulgate insérait dans ce passage, entre *τοῦτο* et *προϊέμενον*, les mots *ῥᾳδίως καὶ ἑτοίμως;* certains manuscrits, ainsi qu'un reviseur ancien du *Parisinus Σ*, seulement *ἑτοίμως*. Le manuscrit dans lequel Chorikios lisait Démosthène appartenait, comme on voit, à la même classe que ces derniers.

22. D'abord *αὐτῆ*, changé de première main en *αὐτὴν*, Ms.

23. *θυμηδίᾳ ἦθος*, hiatus atténué par la pause.

24. Eschine, *Ambassade*, § 47, p. 229, *καὶ τῆς* (*Φιλίππου*) *ἐν τοῖς πότοις ἐπιδεξιότητος*. Cf. Chorikios, *Éloge d'Aratios*, § XIII, 1, *ἑστιῶν δ' αὐτοὺς καὶ φιλοτησίας προπίνων καλὴν ἐνεδείξω πρὸς ἅπαντας δεξιότητα*, et la note afférente à ce passage.

25. *πρεσβύτην* Ms. — Eschine, *Ambassade*, § 42, p. 225, *Κτησιφῶντος δὲ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τιν' ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος, καὶ προσθέντος ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον* (il parle de Philippe) *ἑωρακὼς εἴη*.

26. L'addition de *ἄνθρωπον* est motivée par le texte d'Eschine cité à note précédente.

27. *οἴχθε* Ms. Pour la forme *οἴκοθε*, qui n'est pas signalée au *Thesaurus*-Didot, cf. *ἐντεῦθε* plus bas, § XVII, 4, et la note 6.

28. *δὲ τὸ* Ms.

29. *δόξαν μίμων* (sans trace de lacune) Ms.

30. *ζημιᾶσθαι* Ms.

31. *ἱκανῶς* d'abord, changé de première main en *ἱκανὰς*, Ms.

γησαν (32) ἀφορμάς — ἴσμεν ἐπὶ τὴν Ῥώμην τὸν λόγον. [21] *Πέντε τοίνυν εἰσὶ μυῖαι βασιλειῶν* (33), *καὶ μή τινι εἴη πλειόνων· ἀρίστη δὲ καὶ μεγίστη πασῶν ἡ παροῦσα.* [22] *Φαίνεται τοίνυν αὕτη μάλιστα μίαυος χρονίᾳ· οὐκ ἂν εἰ* (34) *ῥᾴδιον ἐπῆρχε τὸ θέαμα.* [23] *Τοσαύτη γὰρ ἡ Ῥωμαίων σεμνότης ὥστε τῶν ἁμαρτημάτων ὅσα τάλαι μικρὰν ἐφίσταται* (35) *δίκην, ταῦτα πικρῶς οἱ Ῥωμαίων σωφρονίζουσι νόμοι· τὴν γυναῖκα* (36) *γὰρ ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς πᾶσι μὲν Ἀττικοῖ χρισοφορεῖν εἴργουσι καὶ* (37) *δημοτελέσιν ἱεροῖς παραβάλλειν, Ῥωμαῖοι δὲ ζημίαις θανάτῳ* (38). [24] *Οὐκοῦν ἴσως* (39) *μεῖζον τὴν μοιχείαν καλοῦσι δίκης, τοσούτῳ πλείονα σωφροσύνης τίθενται τρόπαια, ὥστε παντί του δῆλον ὡς, εἰ τὸν τυχόντα ἐφερε λίμην ἡ τῆς ἐν θεάτρῳ* [fol. 157] *μοιχείας εἶναι — τάλαι γὰρ ἐπὶ ταύτην ἦκέ με φέρων ὁ λόγος —, οὔποτ' ἂν παυσάσεως ἐμελήθη Ῥωμαίων.*

§ IX. *Ἐκεῖνα οὖν οὐδὲν ἀδικεῖν ἐγγεγραμένων τὸ πρᾶγμα, οὐ τοῦτο τρέπεσθαι ἀεὶ τοὺς ἁρπάσαντας* (1) *μοιχείαν.* [2] *Μὴ τοσοῦτον παίγνια μίαυον* (2) *γενέσθαι κατισχύσει φύσεως.* [3] *Ἦ καὶ*

---

52. *ἐφεστηκεν* Ms.

53. Quels sont les cinq empires que Clément a en vue? Le cinquième, comme il ressort clairement du texte, est l'Empire Romain. Les quatre autres seraient les quatre empires de Daniel, II, 38-40? La plupart des interprètes comprennent ainsi, et c'est vrai, l'Empire Romain dans les quatre empires de Daniel. Mais Clément était peut-être d'une autre opinion; et d'ailleurs, il est possible qu'il ne se soit pas même demandé quels étaient ces quatre empires.

54. Bien que cette construction paraisse étonnante un peu tout d'abord, il ne nous semble pas qu'il y ait là de faute.

55. *τηρήσεται* Ms.

56. En regard de cette phrase, à la marge du MS., *σημείωσαι — Την κατάπαυσιν ἐφ' ᾗ ἐὰν ἁλῷ = ἀναφορὰ τῆς ἐκφορᾶς τοῦ ἀνδρὸς*, avec la variante *οἰκοῦν ἴσως Ῥωμαίοις κ.τ.λ.* Fragment x dans Boissonade, p. 297 (cf. ci-dessus la note 11 de § VI, au Notes. — Isocrate, *Panegyr.* § 183, p. 176, *Ἐν δὲ Σπάρτῃ, ἐν τοῖς παιδικοῖς ἐπιτηδεύμασι, γυμνασίοις καὶ σεμνοῖς, καὶ τὰ τοιαῦτα κοσμοῦσιν.* Τὴν γὰρ κατάπαυσιν ἐφ' ᾗ ἂν κλῷ μοιχὸς καὶ ἐφ' ἁρπαζόντων τοῦτο δὲ τὸ ἐπιτήδευμα ἴσως εἴποιεν.

57. *ἀποκτείνουσι καὶ Πάλλαντι, μᾶλλον ἐπιτρέποντι τοῦτ' ἔπραττε, καὶ εἴργουσι καὶ τοῦτ' ἀνδρεσσιν, ἐν τοῖς ἐν γενεσθαι τάλαι.* Ms.

58. « Lingua Romanae adulationem nondum nostra mollierant; sed servus, ut videbatur, nec ante Consulatum. Vide Exc. ex Tacitum Ann. 2, 50 » (Boissonade, note 2 de la page 297). La Novelle CXXXIV dit seulement (chap. X, τὴν δὲ ἁπροσδόκητον κατάπαυσιν τοῦ τυραννικοῦ τούτου ἐπιτηδεύματος ἐκπεπολεμωμένου ἐκ πανταχόθεν ἐκδικουμένου. La version ci-dessus peut même, au lieu de deux ans, notre du nombre, si on, rien n'oblige à la reprendre.)

59. Après ἔσχε, le manuscrit B. Nicolaïdès (Παναγιωτάκης) insère Ῥωμαίοις; voir ci-dessus la note 58, et la note 11 de § VI, au Notes.

IX, 1 *λάθοις* Ms.

2 Sur l'expression παίγνια κύνων, cf. Plutarque cité ci-dessus, à la note 11 de § VIII

τῶν Μενάνδρῳ πεποιημένων προσώπων Μοσχίων (3) *μὲν ἡμᾶς παρεσκεύασε παρθένους βιάζεσθαι, Χαιρέστρατος* (4) *δὲ ψαλτρίας ἐρᾶν, Κνήμων* (5) *δὲ δυσκόλους ἐποίησεν εἶναι, Σμικρίνης* (6) *δὲ φιλαργύρους ὁ δεδιὼς* (7) *μή τι τῶν ἔνδον ὁ καπνὸς οἴχοιτο φέρων;* [4] *Ἀλλ' οὐδεὶς ἂν, οἶμαι, ταῦτα φήσειεν εὖ φρονῶν* (8). [5] *Καίτοι μισανθρωπία καὶ ψαλτρίας ἔρως καὶ τὸ φιλάργυρον εἶναι ὄνειδος ἔχει τιμωρίας ἐκτὸς, μοιχεία δὲ* (9) *τοῖς ἐσχάτοις ἔνοχός ἐστιν ἐπιτιμίοις.* [6] *Οὔκουν ἐκεῖνα μᾶλλον ἱκανὰ πρὸς ζῆλον ἐγείρειν, ὅσῳ τὰ μὲν ψέγεται μόνον, τὸ δὲ τῇ μεγίστῃ κολάζεται δίκῃ;*

---

3. Photios et Suidas, *s. v.* *πέμπειν*, *Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ.*

Μικρὰ Παναθήναι' ἐπειδὴ δι' ἀγορᾶς πέμποντά σε,
Μοσχίων, μήτηρ ἑώρα τῆς χόρης ἐφ' ἅρματος.

(Meineke, *Fragm. comicor. Graec.*, t. IV, p. 211.)

On manquait absolument d'autres renseignements sur ce personnage de Ménandre: Chorikios nous rend ici un trait important de la figure de Moschion.

4. Tout ce que l'on savait jusqu'ici de Chérestrate est contenu dans la notice suivante de Meineke (*Fragm. comicor. Graec.*, t. IV, p. 216): « Cicer. *pro Sex. Roscio Amerino, XVI*, 46, "*ecquid tandem tibi videtur, ut ad fabulas veniamus, senex ille Caecilianus minoris facere Eutychum, filium rusticum, quam illum alterum* Chaerestratum? — *nam, ut opinor, hoc nomine est — alterum in urbe secum honoris causa habere, alterum rus supplicii causa relegasse?*" Haec e Caecilii Hypobolimaeo, ad Menandreae fabulae imitationem composito, petita esse docet Festus *De verb. signif.*, p. 337, ed. Godofr. "*Caecilius in Hypobolimaeo Chaerestrato*" ». Comparez la note précédente et le texte auquel elle se réfère. Moschion et Chérestrate se présentent en même temps au souvenir de Chorikios; c'est tout naturel: ce sont deux personnages de la même pièce.

5. Élien, *Lettres Rustiques*, dépeint un misanthrope, bourru et méchant quoique encore jeune, qui s'appelle Cnémon, ainsi que le personnage de Ménandre donné ici par Chorikios comme le type du *δύσκολος* et de la *μισανθρωπία* (lettres 13 - 16, *de Callippide à Cnémon* et *de Cnémon à Callippide*). Il y a lieu de croire qu'Élien a tracé ce portrait en se souvenant du Cnémon du comique athénien. Ménandre avait composé aussi un pièce intitulée *Δύσκολος*, dont il existe quelques fragments, mais le *δύσκολος* qui paraît en avoir été le personnage principal, était un vieillard du nom de Smicrinès (voy. la note suivante). D'où il résulte — et c'est à Chorikios que nous devons ce renseignement — que Ménandre avait peint dans son théâtre au moins deux variétés de *δύσκολος*. Le nom de Cnémon se trouve une fois dans les fragments des comiques grecs: *βούλει τι, Κνήμων; εἰπέ μοι* (Meineke, t. IV, p. 322, fragment 457 des *Menandri fabulae incertae*).

6. Smicrinès était un vieillard *δύσκολος* dont Ménandre avait fait le type de la lésinerie et de l'avarice. Il paraissait dans deux pièces au moins, le *Δύσκολος* et les *Ἐπιτρέποντες* (voy. Meineke, *Fragm. comic. Graec.*, t. IV, p. 106-107, 120-121: Jacobs, *Lectiones Stobenses*, p. 96-97, et, au *Thesaurus*-Didot, les renvois de l'article *Σμικρίνης*). En somme, on ne connaissait jusqu'ici, du caractère de Smicrinès, que les traits généraux. Chorikios nous rend un détail curieux, et, à ce que nous croyons, inconnu, du portrait que Ménandre avait tracé de son Avare.

7. *ὁ δὲ διὸς* Ms.

8. *εὐφραίνων* Ms.

9. *μοιχείας δὲ* Ms.

§ X. *Εἶθε, φησί, μοιχείας αὐτοῖς μίμησις ἦρκει, καὶ μὴ πολ*
δεινοτέραν αὐτῆς ἐπετήδευον, πεπορνειμένον (1) *ὑποκρινόμενο*
[2] *Τίνα δὴ βλάπτειν ἡγῇ τὴν ὑπόκρισιν; αὐτόν, εἰπέ μοι, τὸ*
κεχρημένον ἢ τὸν θεώμενον οἴει θηλύνειν; [3] *Σὶ μὲν ἀμφοτέ*
ροις ἐρεῖς· ἐγὼ δὲ τοίτων οὐδέτερον. [4] *Οὐ γὰρ συναλλοιοῦτα*
τοῖς ἐσθήμασιν ἡ ψυχὴ, κἂν συνάδοντά τις τῷ σχήματι φθέγξη
ται· οὔτε γὰρ ἀνδρεῖον ἡ λεοντῆ τὸν Ἀριστοφάνους ἐποίει Ξαν
θίαν (2), *οὔτε δειλὸν ἡ γυναικεία στολὴ τὸν Ἡιλέως· κἂν ἐγὼ τ*
σχῆμα τοῦτο τῆς Ἀττικῆς(3) *ἀποθέμενος ἀναλάβω στρατιώτο*
σκευὴν οὐ γενήσομαί τις πολεμικός. [5] *Καὶ τί με δεῖ πρὸς ἐμὰ*
ἐμαυτῷ παραδείγματι χρήσασθαι; [6] *Παίζοισι πόλεμον ἐνίοτ*
μῖμοι· καὶ γίνεται δὴ στρατηγὸς μέν τις τῶν Τρώων, ἕτερος δ
τις τῶν Μυρμιδόνων, ἄμφω δὲ μένοισι τὴν ἔμφυτον ἔχοντες δύ
ναμιν, οὐ τὴν πεπλασμένην ἰσχύν. [7] *Αἰσθάνομαι μὲν ἡρέμ*
σου κατανεύοντος· ἐπεὶ δὲ μήπω (4) *βεβαίως ἔοικας πειθαρχεῖ*
ἀκοίσῃ τι μεῖζον τῶν εἰρημένων. [8] *Εἰ μῖμος εἴη, πεπορνειμέ*
νος, ἂν τὴν ἰδίαν ὑποκρίνηται (5) *νόσον, οὐ γελᾶν, οἰ θαυμάζε*
κινήσει τὸ θέατρον (6)· *ὥστε φρονεῖς αὐτῷ γίνεται καὶ σποι*
πάθος διαφυγεῖν, ἵνα γέλωτος τύχῃ καὶ κρότου. [9] *Εἰ δὲ λέγε*
κατὰ βραχὺ τὴν μίμησιν ὑποσαίνουσαν τὴν ψυχὴν ἐντὸς παρ
δίεσθαι καὶ γίνεσθαι φύσιν, ὀρθῶς ἂν εἴποις, ἡνίκα τις ἓν
καὶ μόνον ἀσκεῖ καὶ πρὸς ἐκεῖνο τὸν λογισμὸν ἐκδίδωσιν ὅλον·
δέ τις εἴδη παντοδαπὰ σχηματίζεται καὶ πρὸς ἕτερον ἐξ ἑτέ
μεταπηδᾷ καὶ τὸ παρὸν ἔτι μιμούμενος ἐννοεῖται τὸ προσδοκώ
νον, ὁ δὲ τοιοῖτος οὔτε τοῖς σεμνοτέροις γίνεται σχήμασι κρείττ
οὔτε τοῖς ἑτέρως ἔχουσι χείρων. [10] *Μὴ τοίνυν πρᾶγμα με*
καταλύειν, ὅπερ τὸν μετιόντα μὲν οὐδὲν ἀδικεῖ, τῶν δὲ τεθεα
νων τοὺς μὲν οἴκαδε πέμπει, τοὺς δ' εἰς ἀγορὰν ἐξάγει, ἑκατέρ
φέροντας ἐν (7) *τῷ προσώπῳ μειδιάματος λείψανον· ὑπὲρ τ*
μιμουμένων οὕτως ἡ πεῖρά σοι διαμάχεται. [11] *Ὑπὲρ δὲ τ*
θεωμένων οἱ Ῥωμαίων πρὸς σὲ πάλιν ὁπλίζονται νόμοι. [1
Ὥσπερ γὰρ Ἀθηναίους οὐδὲν ἡ κωμῳδία βλάπτειν ἐδόκει πρὸ

---

§ X.] 1. *πεπορνειμένους*? Cf. cependant § XIII, 9, *σχῆμα πεπορνειμένο φέρεις εἰς μέσον.*

2. Aristophane, *Grenouilles*, v. 498 et suiv.: v. 589 et suivants. — En suite, allusion à Achille caché sous des habits de femme dans l'île de Scyro parmi les filles de Lycomède.

3. *τῆς ἀστικῆς*? (Weil.) Cf. Sophocle, *Philoctète*, 223, *σχῆμα μὲν γ Ἑλλάδος ‖ στολῆς ὑπάρχει.*

4. *μὴ πως* Ms.

5. *ὑποκρίνεται* Ms.

6. Cf. § I, 2, et la note 5.

7. *ἐν*] *ἔτι* Ms.

σωφροσύνην, μνήμην ποιουμένη Κλεισθένους οἷαν ὁ τούτου βίος ἀπῄτει(8) — ὁ γὰρ Ἀθήνησι νόμος, ἀτίμους ποιῶν τοὺς ἐπὶ τῷ σώματι μισθαρνοῦντας(9), οὐκ εἴα δοξάζειν τὸν δῆμον ὡς δεῖ τοιαῦτα τολμᾶν οἷα κωμικοὶ παίζουσι ποιηταί —, οὕτω καὶ νῦν ὁ κολάζων νόμος τοὺς πωλοῦντας τὴν ὥραν δείκνυσι παίγνιον ὂν(10) τὰ δρώμενα. [13] Διὰ τοῦτο τοὺς παῖδας οἱ φύσαντες καὶ μίμους οὐδαμῶς εἴργουσιν ἐν δέοντι θεωρεῖν καὶ δράματα κωμικὰ παρασκενάζουσιν ἀπαγγέλλειν(11)· δέδοικε δ' οὐδεὶς μὴ λάθῃ γύννις καὶ θηλυδρίας ὁ παῖς αὐτῷ γεγονὼς, ἢ μῖμον ἰδὼν τοιαῦτα σχηματιζόμενον(12) ἢ λέγοντος Ἀριστοφάνους ἀκούσας ἃ δὴ τοὺς τοιούτους ἐκεῖνός που ἔφη κωμῳδῶν(13), οὐδὲ γραμματιστὴν ἤτησε πώποτε μειρακίου πατὴρ(14) τὰ μὲν ἄλλα δράματα τῷ παιδὶ παραδοῦναι, ἐν οἷς δέ τι τοιοῦτόν ἐστι παραλιπεῖν. [14] Καίτοι τῶν γονέων οἱ νοῦν ἔχοντες τῆς εὐκοσμίας μᾶλλον ἢ τῆς γλώττης αἰτοῦσι πρόνοιαν ἔχειν τὸν παιδευτήν. [15] Ἀλλ'(15) οὔτε τοιαῦτα λέγοντα ποιητὴν, οὔτε μῖμον οὕτως ὑποκρινόμενον ὑφορῶνται, οὐδὲ τοῖς οἰκέταις οἷς(16) παραδιδόασι τοὺς υἱεῖς διακελεύονται πάντα πλὴν μίμων ἐνδιδόναι τοῖς παισὶ θεωρεῖν. [16] Τοσούτων ἤδη λεχθέντων, οὔπω(17) τὸ μέγιστον εἴρηται· αὐτοὺς γὰρ τοὺς πεπορνευμένους οὓς ὀνομάζομεν, ἐκ τούτου τὰ σώματα διαλελύσθαι τῷ πάθει ἡμέρας, ὡς εἰπεῖν, ἑκάστης ὁρῶντες, ἀκούοντές τε κυμβαλιζόντων(18) ἐν τοῖς συμποσίοις, οὐδεμίαν αἰσθανόμεθα βλάβην

---

8. Voy. Aristophane, *Grenouilles*, vers 48 et 57 (Chorikios doit avoir ces deux passages particulièrement en vue; car à deux reprises déjà, dans les lignes précédentes, on a eu à signaler des réminiscences de la comédie des *Grenouilles*, § VI, 4, note 9, et § X, 4, note 2): *Lysistrate*, *Guêpes*, etc., passim.

9. Loi citée chez Eschine, *Timarque*, § 21, p. 47, ἐάν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, μηδ' ἱερωσύνην ἱεράσασθαι, μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μηδὲ κτλ.

10. Sur παίγνιον ὄν, et non ὄντα, cf. Madvig, *Syntaxe Grecque*, § 4 (=Krüger, *Grammaire Grecque*, § 63, 6, remarque): τὴν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, Platon, *Protagoras*, p. 354 C.

11. Cf. § VI, 8, et la note 15.

12. μίμων ἱ. τ. σχηματιζόμενον Ms.: on pourrait aussi bien conjecturer μίμων ἱ. τ. σχηματιζομένων.

13. Aristophane se sert du mot γύννις en parlant d'Agathon et caractérise son chant par l'épithète θηλυδριῶδες (*Thesmophor.*, vers 131 et 136). Γύννις ne se trouve que cette seule fois dans ce qui nous reste d'Aristophane, et θηλυδρίας ne s'y rencontre point.

14. πατὴρ] πατρὶ Ms.

15. λλ' Ms.

16. οὗς Ms.

17. οὕτω Ms.

18. κυμβαλίζειν, mot rare, qui n'est signalé au *Thesaurus* que dans deux passages, Lucien, *Calomnie*, § XVI, p. 147, et Cassius Hemina chez Nonius, p. 90, 25. On peut citer encore, dans la version des Septante, *Néhémie*, 12, 27, ἐν ᾠδαῖς κυμβαλίζοντες.

ἐντεῦθεν ἡμῖν ⟨ἑτοιμένην⟩ (19) [fol. 158]. Οὐδὲν οὖν λιμαινομένων (20) τῶν τοῦτο νοσούντων, τί ἂν πάθοι τις ἐκ τῶν μιμουμένων;

§ XI. Τάχα τοίνυν, ἐπειδὴ μνήμην ἀρτίως (1) Ἰσοκράτους ἐποιησάμην, εἰς ἔννοιαν παρ' ἐμοῦ τοῦτον λαβών, ἐκείνην αὐτοῦ τὴν παράνεσιν εἰς ἔλεγχον οἴσεις τῶν μίμων « ἃ (2) ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν· οἱ δὲ ποιοῦσι μὲν ἃ μηδὲ θεωρεῖν ἄξιον, λέγουσι δ' ἃ μηδ' ἀκοίειν καλόν. [2] Ἀλλ' εἰ μὲν ἀτὸ στοιδῆς τοιούτοις ἐχρῶντο σχήμασί τε καὶ λόγοις, τάνι (3) αὐτοῖς συνηγορῶν ἧσχυνόμην, μᾶλλον δὲ μὴ ψόγον ἐπιδεικνύμενος· ἐτεὶ δὲ καὶ μίμησις ὑπάρχει τοὐπιτήδευμα, ἑκατέρας δ' ἰδέας μετέχει — νῦν μὲν γὰρ οὐ σεμνὰ σχηματίζονται, νῦν δὲ πάσης αἰσχύνης ἀπηλλαγμένα (4) —, αὐτοῖ (5) τε τὸ δοκοῦν εἶναι παράνομον δικασταῖ παραδίδοται ψήφῳ, τί μέμψεως ἄξιον αὐτοῖς ἑνορᾷς; πλὴν εἰ μὴ φήσεις σε (6) κἀκεῖνο κατηγορεῖν ὅτι μὴ μόνα τὰ βελτίω μιμοῦνται. [3] Καὶ πῶς τὴν αἰτιῶν ἐβεβαίουν ἐπωνυμίαν, ἣν ἐκ τοῦ τὸν βίον ὑπογράφειν προσαγορεύονται, εἰ τῶν ἐν τῷ βίῳ πραγμάτων τὰ μὲν ὑπεκρίνοντο, τὰ δὲ παρεώρων; ὥσπερ ἂν εἰ καὶ (7) τῶν ὀψοποιῶν κατηγόρεις ὅτι τὰ μὲν ὠφέλιμα τοιοῖσι τῶν ὄψων, τὰ δ' οἷ, τοιαῦτα δέον μόνα μαγειρεύειν ὅσα πρὸς ὑγίειαν λυσιτελεῖ. [4] Ἀλλ' οὔτε μαγείροις οὔτε μίμοις αἰτιατέον· ἑκάτερα (8) γὰρ ἄμφω ποιεῖν ἡ τέχνη παρακελεύεται. [5] Ἀλλ' ἀντὶ μὲν ἐκείνων μέμφοι τοὺς ἐπιτάττοντας (9)· ἀντὶ δὲ μίμων τοὺς οὐ χρηστὰ πράττοντας ἔργα, τῆς οὐ καλῆς δεδωκότα

---

19. La dernière ligne du *folio* 157 *verso* se termine sur le mot *ἡμῖν*. La page suivante est tout entière d'une autre main que la plus grande partie du discours; c'est la même qui a encore écrit plus bas le *folio* 160 *verso*, le *folio* 163 *recto* à partir de *λοιπόν* (début du § XIX), le *folio* 163 *verso*, ainsi que d'autres parties du manuscrit, notamment l'Eloge d'Aratos tout entier (voy. ci-dessus, p. 1). Le *folio* 158 *recto* commençant sur le mot *οὐδέν*, il était évident qu'il existait là une lacune. Une main postérieure a ajouté en bas du *folio* 157 *verso*, à la place qu'occupent ordinairement les réclames, le mot *ἑτομένης*, d'où nous avons tiré *ἑτομένην*, qui fait le sens.

20 *λιμαινομ* (l'accent aigu de l'*ε* et la plus grande partie de l'abréviation *ον* enlevés par le rogneur lors de la reliure du volume) Ms.

§ XI.] 1. Voy. § VIII, 9.
2. Isocrate, *Démonique*, § XV, p. 5 A, Estienne.
3. Peut-être *πάνυ* ⟨*γ' ἂν*⟩ *αὐτοῖς*.
4. Cf. § IV, 7, et la note 4.
5. *αυτό* Ms.
6. *φήσει σε* Ms.
7. *ἂν εἰ καὶ*] *ἀνῆκε* Ms.
8. *ἑκατέραν* Ms.
9. *ἐπιτάττοντας*] *ἐπιτύττοντας* Ms.

μιμήσεως ἀφορμήν. [6] Οὕτω πανταχῇ τὸ πρᾶγμα περιστρέφοντες, ὑπεύθυνον οὐδαμοῦ κατηγορίας ὁρῶμεν. [7] Οὐ γὰρ αὐτὸ δήπου τὸ παρασκευάζειν γελᾶν εἴποις ἂν ὑπαίτιον [fol. 158 v°] εἶναι (10)· οὐδὲ γὰρ Λυκοῦργος ὁ Σπαρτιάτης, ἀνὴρ σύννους (11) καί πράττων οὐδὲν ἄνευ μεγάλου φρονήματος, πρὸς ὃν εἰρηκέναι τὸν Ἀπόλλωνά φασιν

δίζω (12) ἦ (13) σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον,
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι,

οὐθ' οὗτος ὁ Λάκων, ὁ παρὰ κριτῇ τῷ Πυθίῳ φύσεως ἀνθρωπείας ἔχων ἀμείνω τὸν νοῦν, ὑβρίζειν ᾠήθη τὴν Σπάρτην ἱδρυσάμενος ταύτῃ Γέλωτος ἄγαλμα (14), καλῶς γε ταῦτα φρονήσας καί τῆς Ἀπόλλωνος εὐφημίας ἀξίως. [8] Δύο γὰρ ἄνθρωπος ἔχει κοινὰ μὲν πρὸς τὸ θεῖον, ἐξαίρετα δὲ πρὸς τὴν ἄλογον φύσιν, λόγον καὶ γέλωτα. [9] Ὡς γὰρ πεφύκασι γελᾶν καὶ θεοί, οἶδεν ὁ μεμνημένος τοῦ λέγοντος ἔπους

θεοῖσι δὲ γέλως ἄσβεστος ὄρωρεν (15)·

τὸ δὲ φιλομμειδὴς Ἀφροδίτη (16), κἂν ἐγὼ παραλείψω, λογίζεσθε· ὁ δ' Ἔρως (17) κἀνεκάγχασεν εὐστόχως τὴν Λιήτου βαλών. [10] Πῶς οὖν ἄν τις ἐπιτήδευμα λοιδορήσειεν, [ἐν] ᾧ πρόσεστιν ἔργον κοινὸν μὲν ἀνθρώποις τε καὶ θεοῦ, πόρρω δὲ γένους ἀλόγου; [11] Ἐντεῦθεν ἄνδρες ἐν λόγοις τε καὶ νόμοις ἀχθέντες οὐκ ἀποκνοῦσι τοιαῦτα, καιροῦ καλοῦντος, ἐπιτηδεύειν· καὶ τοὺς μὲν ἐνταῦθα τοῦτο πεποιηκότας (18) τί δεῖ πρὸς εἰδότας εἰπεῖν; [12] Ἀποβλέψατε δὲ πρὸς τὴν Καίσαρος (19) πόλιν, ἣν ἐκαλλώπισε πανταχόθεν ἡ φύσις· ὡραία τε γὰρ καὶ μεγάλη καὶ λόγοις

---

10. A partir du *folio* 158 *verso*, la main qui avait copié le discours, depuis le commencement jusqu'au bas du *folio* 157 *verso*, reprend.

11. Cf. *Éloge d'Aratios*, § XIII, 1, et la note 10.

12. A la marge du manuscrit, on lit ici *σημείωσαι*. — Cet oracle se lit chez Hérodote, I, 65.

13. *εἰ* Ms.: ἦ Hérodote.

14. Cf. Plutarque, *Lycurgue*, 25, *οὐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως αὐστηρὸς ὁ Λυκοῦργος· ἀλλὰ καὶ τὸ τοῦ Γέλωτος ἀγαλμάτιον ἐκεῖνον ἱδρύσασθαι Σωσίβιος ἱστορεῖ*: *Cléomène*, 9, *ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά*.

15. *Sic.* — Cf. *Iliade*, I, 599:

Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν.

16. Φιλομμειδὴς Ἀφροδίτη, *Iliade*, IV, 10: *Iliade* et *Odyssée*, passim.

17. Apollonios de Rhodes, *Argonautiques*, III, 286: Eros, blotti dans les jambes de Jason, lance un trait contre Médée,

ἦκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν·
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤιξε.

18. Cf. § I, 5, et § XIII, 2.

19. Chorikios désigne ordinairement Césarée par l'expression *ἡ Καίσαρος* (sans ajouter *πόλις*). Cf. *Éloge d'Aratios*, § XIII, 1, et la note 6.

ἀνθοῦσα καὶ πλοίῳ καὶ παντοδαποῖς ἀξιώμασι, πολλῶν τε καὶ καλῶν πόλεων ἡγεμὼν ἅμα καὶ μήτηρ [20]· οἱ ταύτην οἰκοῦντες μικρὸν ἀπὸ τοῦ ἄστεος — γινώσκετε, οἶμαι, τὸν χῶρον, οἱ μὲν ἐμπαλάτται οἱ δὲ πεπισμένοι — ἐχαίκλιον ἄρισιν ἑορτὴν οὐδὲ τοῦ λαχόντος τὴν πόλιν ἰθάνειν [21] ἀπόντος· ἡδεῖα δὲ καὶ πλήρης ἀβρότητος ἡ πανήγυρις αὕτη· ἀφικνεῖται γὰρ ἅπασα τῆς πόλεως ἡ σκηνή [22]· παραγίνονται δὲ καὶ ῥήτορες ἄνδρες τὰ μίμων ἐποχρινόμενοι, οὐ φαύλως βεβιωκότες, οὐδ' εὐγλωττίᾳ λειπόμενοι τῶν ὁμοτέχνων [23]. [13] Ἆρ' οὖν εἰ τῷδε τῷ πράγματι σεμνὴ προσῇν [24] ἀδοξίας, ἄρχοντος ἐναντίον κἀστεῖν καὶ ξένων ἄνδρες ἐκεῖνοι τοῦτ' ἂν ἐπετίδειον; [14] Οὐδεὶς ἂν λέγειν ἀποκνήσειε [25], κἂν πάνυ δύσερις ᾖ.

§ XII. Ὁμολογῶ μὲν γὰρ εἶναί τινας οἷς ἔνι ⟨α τῶν ἐν⟩ αὐτοῖς (1) [fol. 159] γινομένων διαθερμαίνειν τὴν φαντασίαν οὐδὲ θεάτρων χωρὶς ἠρεμοῦσαν. [2] Οἱ μὲν διὰ τοὺς ἀσελγῶς θεωροῦντας τὴν τῶν σεμνῶς θεινομένων ἀνὰ ταιλαν καταλῦσαι προσήκει ὥσπερ οὐδὲ τῶν ἵππων τὴν ἄμιλλαν, ὅτι τῶν ἄθλων οἱ πλείους ἔτι μὲν σιν[αν]ιστάμενοι τοὺς ἀκρατῶς ἔχοντας ἐν ἑκατέρᾳ μερίδι δίσφημα βοᾶν ἐκβιάζονται, πεπαυμένοι δὲ τοὺς ἡττημένους. [3] Εἰ δὲ καὶ διὰ πάντων ὧν οἱ τῆς θέας ὥρισαν νόμοι σταδίων ἄγοιτό τις τῶν ἄθλων καὶ παντοίας ἔχοι τύχης ἰδέας, ἐλπίδα τινὰ συνεχῆ νίκης ἀμφοτέροις διδοὺς, τίς ἂν ἐξαριθμήσειε τὰς ἑκατέρων ἐπιορκίας τῶν οἰκείων ἅμα καὶ τῶν ἀλλοτρίων διομνυμένων νικᾶν; [4] Καὶ τὸ μὲν ἄθλοι συγχρουομένοι (2) τοιαῦτα παθεῖν ἄτοπον μέν, οὔπω δὲ τῆς ἄκρας μανίας τεκμήριον· ἀλλὰ πρὸ τῆς τῶν ἀγώνα

---

20. Voy. *Éloge d'Aratios*, § VIII, 2, et la note 4.

21. *οὐδὲ τοῦτο λαχόντες τὸ τὴν πόλιν ἰθάνειν* Ms. (το écrit au-dessus de τες par un reviseur, afin qu'on lût correctement *λαχόντος*, n'aura pas été compris et aura été introduit dans le texte à la suite de *λαχοῦτες τοῦτο* pour τοῦ semble être une prétendue correction de copiste, qui sera venue à la suite de la première faute.) Cf. ci-dessous, 13, *ἄρχοντος ἐναντίον*.

22. On sait la multitude de mimes et d'histrions de toutes sortes que produisait la Syrie sous l'Empire (voy., au surplus, les textes de Grysar, *Der Romische Mimus*, p. 48): il n'y a rien d'étonnant que Césarée de Palestine possédât une nombreuse troupe de mimes.

23. Cf. *Éloge de Marcien*, I, p. 109, l. 3, Boisson, *πλήθει τε λόγων καὶ τρόπῳ καθεστηκότι τὰ πρῶτα φέροντι τῶν ὁμοτέχνων*.

24. *προσῇ* Ms.

25. Eschine, *Ctésiphon*, § 131, p. 521, *ἀπεκόμησε λέγειν*: § 160, p. 547, *ἀπεκόμα δὲ λέγειν*.

§ XII.] 1. *ἐναν* (le ν étant surmonté lui-même d'un signe qui ressemble un peu à l'abréviation de ους, mais davantage à celle de ος) Ms.

2. *ἄθλους συγχρουομένου* Ms.

τελούσης (3) ἡμέρας οὐδὲν ἧττον εἰς ἐπιορκίαν ἐκφέρονται, καθ' αὑτοὺς μὲν ἀγωνιῶντες ἑκάτεροι, πρὸς δὲ τοὺς ἐναντίους ὀμνύντες ὡς αὐτῶν ἔσται τὸ κράτος, τῆς πρὸς τὸν ἀγῶνα φιλονεικίας οὐκ ἐώσης αὐτοὺς ἐννοεῖν ὡς ἀνάγκη τοὺς ἑτέρους ἐπιορκεῖν· ἀληθέστερον δ' εἰπεῖν ἀμφοτέρους, ἄλλων ἐν ἄλλοις ἄθλοις ἀποτυχόντων τῆς ἐνόρκου μαντείας. [5] Εἶτα διὰ τούτους ἀναιρήσομεν θέαν ἣν Ἀπόλλωνι τῷ Δηλίῳ προσέθεσαν Ἀθηναῖοι (4); [6] Ἀλλ' οὐ δίκαιον τοὺς ἐκπίπτοντας τοῦ σκοποῦ τῶν πραγμάτων αἰσχύνην τοῖς πράγμασι φέρειν. [7] Ἰαμοῦσι γὰρ ἄνθρωποι πολλοὶ μὲν ὀρεγόμενοι τέκνων, πολλοὶ δὲ πρὸς ἡδονήν· αὐτάς θ' ἃς ἄγομεν θεῶν πανηγύρεις (5) οἱ μὲν ὁσίως τελοῦσιν, οἱ δὲ πρόφασιν ἀσωτίας ποιοῦνται. [8] Οὕτως ἄρα κἀκεῖναι, αἳ πάντων εἰσὶ τῶν ἐν ἀνθρώποις τὸ μέγιστον, ἔχουσι δήπου τινὰς οὐχ ὡς ἔδει χρωμένους. [9] Οὐ . . . . . θησόμεθα (6) νόμον μὴ χρῆναι γάμῳ χρῆσθαι, μὴ θείαν ἄγειν πανήγυριν· οὐ γὰρ ἀντὶ τοῦ κολάζειν τὸ φαῦλον δεῖ τὸ χρηστὸν ἀδικεῖν. [10] Ἀλλὰ μὴν τῆς ὑγιείας, εἴπερ τινὸς ἄλλου, πρόνοια (7) καὶ σπουδὴ πᾶσι μὲν ἔστιν (8) ἀνθρώποις, μάλιστα δὲ τοῖς νόσων πεπειραμένοις· ἡ γὰρ ἐκ τούτων ὀδύνη τὴν (9) ἐκείνης ἐμφαίνει σαφῶς εὐφροσύνην, ἐπεὶ καὶ πᾶν ἀγαθὸν ἥδιον φαίνεται τοῖς οἷον τοὐναντίον πέφυκεν ἐγνωκόσι. [11] Λέγεται τοίνυν τις ἀήθει νόσῳ περιπεσὼν πολλῶν μὲν ἰατρῶν εἰς πεῖραν ἀφῖχθαι, μηδένα δὲ κρείττω τοῦ πάθους εὑρεῖν. [12] Ὡς δὲ τὸ κακὸν ἄμαχον ἦν καὶ μάτην ἄλλοτ' ἄλλα προσήγετο φάρμακά τε καὶ ποτὰ καὶ σιτία, τούτων δή τινα τῶν γελωτοποιῶν

---

3. Cf. § V, 2, et la note 2.

4. Thucydide, III, 104 (à la fin), *οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν* (il s'agit des jeux Déliens) *καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.*

5. *Ἔστι δὲ* (Χορίκιος) *καὶ τῆς εὐσεβείας ἐραστής, τὰ χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας Ἑλληνικὰς, οὐ δέον ὄν, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν, ἔστιν ὅτε καὶ ἱερολογῶν.* (*Ex Phot. Biblioth. cod. CLX.*) Cf. les renvois de Boissonade, à propos de ce texte, p. viij de son édition de Chorikios, note 2; et, dans le présent discours, § VII, 2, *ναὶ μὰ Δία*: § VI, 13, *ναὶ μὰ τὸν Ποσειδῶ* (conjecture, à la note 22): § XIX, 9, *πρὸς θεῶν*: 10, *νὴ Δία*: § XIV, 4: et surtout les passages suivants, § III, 11: § VI, 4-5: § XVII, 5: § XX.

6. *οὐ θησόμεθα* Ms.: le sens réclame quelque chose comme *οὐ ⟨μέντοι⟩ θησόμεθα*, ou bien *οὐ ⟨μὴν ἀλλ' οὐ⟩ θησόμεθα*.

7. *πρόνοια* est le dernier mot de la dernière ligne du *folio* 159 *recto*. On lit dans le manuscrit au-dessous de ce mot, — c'est-à-dire à la place qu'occupent ordinairement les réclames, quand il y en a, — *καὶ νῦν* (traces de grattage sous *ῦν*). Le *folio* 159 *verso* commence sur les mots *καὶ σπουδὴ*.

8. Peut-être *πᾶσι μὲν ⟨ἔν⟩ εστιν ἀνθρώποις*.

9. Peut-être *τὴν ⟨ἐξ⟩ ἐκείνης*.

[illegible] τις ἄγων εἰσῄει, βουλόμενος βιάσασθαί [illegible] ἀπὸ τῆς ὀδύνης τὴν φαντασίαν· ὁ δὲ [illegible] τέχνης, ὅπως καταπραΰνοι τὸν κάμνοντα· [illegible] ψυχαγωγίας γέγονεν ἴασις (10). [13] Πῶς τις ἂν [illegible] ἐν] ᾧ καὶ νόσον ἰάσαιτο (11) πᾶσιν ἰατροῖς [illegible]

[illegible] ταῦτα τοίνυν ἀντειπεῖν ἔχων οὐδὲν, ἐμοὶ δὴ [illegible] (1) τοῦ μὴ καλὸν εἶναι τὸ χρῆμα. [2] Τί γὰρ, [illegible] φρονῶν, οὐδὲ τὴν ἔναγχος θέαν τῶν, ὡς αὐτὸς [illegible] σοι καὶ φίλων ἐν πανηγύρει δημοτελεῖ νύκ- [illegible], οὐδὲ ταύτην ἰδεῖν ᾠήθης σοι (4) πρέπειν; [3] [illegible] φεύγων, ἀλλὰ νόμον φυλάττων ὃν ἔθηκεν ἡ συνή- [illegible] παιδεύειν ἐπιχειροῦσιν (5)· ὅτι γὰρ ἐξ ἔθους [illegible] κατὰ φύσιν αἰσχρὸν εἶναι τὸ πρᾶγμα δοκεῖ, τεκμή- [illegible] περιφανὲς τὸ τοῖς μαθηταῖς ἐνδιδόναι μικρὰν [illegible] ἔχειν ῥᾳστώνην, εἴτε πανδήμου τινὸς ἑορτῆς ἀγομένης, [illegible] γράμμα νέου πεπληρωκότος ἐφ' ᾧ τὸν παιδευτὴν χρυσοῦν [illegible] νενομοθέτηται καὶ μιᾶς ἡμέρας ἀνάπαυλαν αὐτῷ [illegible] τῷ νέῳ καὶ τοῖς ἐκ τῆς αὐτῆς ὁρμωμένοις παλαίστρας· [illegible] τὴν ἡμέραν ἀμέλει καλοῦμεν ἐπωνυμίᾳ. [4] Εἰ δὲ βλά- [illegible] παιδευτὴς ἐκ ταύτης αὐτῷ τῆς θέας ἕπεσθαι δεδοικὼς ἐφυ- [illegible] πολὺ ⟨γ'⟩ ἂν μᾶλλον τοῖς οἰκείοις διεκελεύετο μαθηταῖς [illegible] εἰ γὰρ ὑπὲρ αὐτοῦ τὴν διάνοιαν ἐταράττετο παιδεύ- [illegible] καὶ πρεσβυτέραν ἄγοντος ἡλικίαν, πῶς ἂν νεωτέροις καὶ [illegible] θεωρεῖν ἐνεδίδου (6) τοσοῦτον ὅσον προσήκει μειρακίοις [illegible] διακονοῦσι καὶ Μούσαις (7); [5] Ἀλλ', ὅπερ εἶπον, οὐ βλά-

---

(1) Nous avons imprimé telle quelle la leçon du manuscrit — Le sens [illegible] commoderait bien de χοὔτως ἐκείνῳ 'κ (ἐκ) ψυχαγωγίας.

(2) [illegible] (à ce qu'il semble || ἐν ᾧ κ. ν. ἰάσατο Ms.

[illegible] XIII.] 1. [illegible] (de première main) Ms.; et à la marge, toujours de [illegible] main, [illegible].

(3) Voy. au § I, 5.

(4) Cf. § VII, 3, et la note 2.

(5) [illegible] Ms.

(6) Cf. ci-dessous, 5, et surtout § I, 4, où Chorikios raconte de lui-même [illegible] allait aux représentations des mimes πρὶν εἰς παιδευτὰς ἐγγραφῆναι.

(7) [illegible] Ms.

(8) Cf. Oraison funèbre de Procope, p. 3, dern. l., Boisson., ἐπὶ μὲν θύρας [illegible] ἡλικίαν ἔχων ἣν οἱ τὰ πρῶτα παιδευόμενοι γράμματα, εἰς [illegible] ἐφοίτησε χρόνον ἄγων τοσοῦτον ὅσον οἱ τὰ Μουσῶν [illegible] Éloge de Marcien, I, p. 108, dern. l., παρὰ θύρας ἦγε [illegible] ἐμφορηθέντα σε Μούσης τῷ κορυφαίῳ παρεδίδου [illegible] Or. fun. de Procope, p. 8, l. 4, ἐν Ἑρμοῦ ταχθεὶς [illegible] καταπαλαίσας.

βις εἴργει με [fol. 160] φόβος, νόμος δέ τις ἡμῖν ἐπιχώριος, οἳ τῶς πανταχοῦ ταιδευταῖς ὡρισμένος· τοιγαροῦν ἀνὰ τὴν Φοινίκην ἅπασαν, εἰ διδασκάλων τις ἀθέατος εἴη(8), δύσκολος εἶναι καὶ δυσάρεστος ὑποπτεύεται· πλὴν εἰ καὶ δώσομεν πανταχοῦ κύρον εἶναι τὸν ἐνταῦθα κρατήσαντα [τὸν] νόμον, οὐ μίμοις τοῦτο γενέσθαι ψόγος· ἡ γὰρ (9) ἂν ἀποβάλλοιμεν(10) ἱπποδρομίας καὶ κυνηγέσια καὶ χοροὺς ᾄδοντας κῶρχησιν καὶ λοὺς καὶ χορδῶν ἁρμονίαν — τοίτων γὰρ οὐδενὶ παιδευταῖς νενόμισται παραβάλλειν — · ὥστε νόμῳ πόλεως ἀκολουθοῦντες οὐ θεώμεθα μίμοις, ἀλλ' οὐ δεδότες μή τι βλάβος ἡμῖν ἐντεῦθεν ἐμπέσῃ. [6] Πολλὰ γὰρ τῶν καὶ σκηνῆς τελουμένων(11) παιγνίων ἐκ προοιμίων εἰς τέλος οὐδὲν ἔξω σεμνότητος ἔχει [7] Δόξαις ἂν ἄνδρα βλέπειν καθεσπιότα σωφρονεῖν παραινοῦντα τῇ συνοικοίσῃ καὶ φείγειν τῶν φιλτίων τὰς λοιδορίας· ἔνι καὶ στρατιώτας ἰδεῖν, καὶ ῥητόρων ἀκοῦσαι, διεῖν ἐνίοτε μίμων τοῦ μὲν ἀλόγιστόν τινα μιμουμένου, τοῦ δὲ καλῶς ἐν λόγοις ἀχθέντα, ὥστε γελωμένου μὲν ἐκείνου, κρωτουμένου δὲ τούτου (12), λογισμὸς εἰσέρχεται τοῖς θεωμένοις ὡς δεῖ παίδεισιν μὲν ἀγαπᾶν ὅπως ἐπαινοῖντο(13), ἁμαθίαν δὲ φείγειν ἵνα μὴ σωμμάτων γένωνται πρόφασις. [8] Τίς δ' οὐκ ἂν εἴποι καταλέγειν ἐπιχειρῶν ὅσα μιμοῦνται; δεσπότην, οἰκέτας, καπήλοις, ἀλλαντοπώλας (14), ὀψοποιούς, ἑστιάτορα, δαιτυμόνας, συμβόλαια γράφοντας, παιδάριον ψελλιζόμενον, νεανίσκον ἐρῶντα, θυμούμενον ἕτερον, ἄλλον τῷ θυμουμένῳ παραίνοντα τὴν ὀργήν. [9] Τί οἶν ἅπαντά μοι παραδραμὼν σχῆμα πεπορνευμένοι φέρεις εἰς μέσον; ἢ τοῦτο μόνον ἡμῖν τυγχάνεις τεθεαμένος; [10] Τί δὲ; τοῦτο μὲν τοὺς ὁρῶντας θηλύνειν ὑπολαμβάνεις, τῶν δὲ γενναίων σχημάτων οὐδὲν πρὸς ἑαυτὸ μεταφέρειν οἴει τοὺς ἀνδρας; [11] Καίτοι τὸ μὲν νόσος ἐστὶ φύσεως ὅρον ἐκβᾶσα, τὸ δὲ ζηλοῦν τε καὶ πράττειν ἡ φύσις ἐνομοθέτησε.

---

8 Sur cet optatif, cf. ci-dessous la note 13.

9. Voy., sur ἡ γάρ, Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 411 (4e éd.).

10. Peut-être ἐκβάλλοιμεν. Cf. § XVII, 3, ὥστε μίμων ἐκβεβλημένων ἀνατεμαίνονται τούτοις οἱ μείζονα βλάπτοντες (Weil.)

11 Cf § V, 2, et la note 2.

12 δὲ τούτοι] δὲ ἐκείνου Ms.

13. Chorikios, comme on l'a déjà fait observer à plusieurs reprises en publiant l'*Eloge d'Aratios* (voy., par ex., § VII, 3, et la note 8), emploie l'optatif là où peut-être les Attiques ne l'auraient pas mis. Cf. encore ci-dessus, 5, εἰ διδασκάλων τις ἀθέατος εἴη. — A la ligne suivante, cf., pour πρόφασις, § XII, 7.

14. Etait-ce, dans les mimes, un souvenir du personnage des *Chevaliers* d'Aristophane?

§ XIV. *Βούλει τὴν ἐκ τοῦ πράγματος ὄνησιν* [fol. 160 v°] *ὀρθῶς* (1) *ἐξετάσαι*; [2] *Σκόπει τὰ μέγιστα τῶν ἀνθρωπείων κακῶν, ὀργήν τε καὶ λύπην, ὧν ἡ μὲν τῶν ἰδίων ἐξίστησι λογισμῶν — εἰ* (2) *γὰρ ἔφη τις τὸν θυμὸν μανίαν ὀλιγοχρόνιον εἶναι —, τὰ πλεῖστα γὰρ* (3) *ἅπασιν ἀρρωστήματα λύπῃ* (4) *κατὰ τὴν τραγῳδίαν* (5) *συμβαίνει· οὐδένα δὲ ῥᾴδιον ἀμφοῖν ἀπηλλάχθαι* (6), *ἀλλὰ τὸν μὲν ἀνιᾷ τι, τὸν δὲ παροξύνει* (7), *τισὶ δ' ἀμφότερα ταῦτα παρενοχλεῖ.* [3] *Ἤδη τις νουθεσίαις* (8) *οἰκείων* (9) *ἢ φίλων οὐδὲν ἐνδιδοὺς μίμους θεασάμενος ἐφαιδρύνθη, τὰ μὲν εἰς τοιτοις ὁρῶν, τὰ δὲ λογιζόμενος ὡς καλλοις εἰκὸς ἐν πλήθει καθῆσθαι τοσούτῳ* (10) *πάσχοντας μὲν αὐτῷ παραπλήσια, μειδιῶντας δ' ὅμως· ὥστε, κἂν μὴ βεβαίας ἰάσεως τύχῃ, τόν γε τοῦ θεάματος χρόνον κουφότερον ἕξει.* [4] *Ἵππων μὲν οἱν ἀγῶνες ἐκπαίνοισι* (11) *μᾶλλον ἢ τέρποισι τὰς τῶν θεωμένων ψυχάς, καὶ πολλὰς ἤδη καὶ μεγάλας ἀνέτρεψαν πόλεις· μῖμοι δὲ τέρψιν ἀπρόγμονα καὶ στάσεως ἐλευθέραν καὶ ταραχῆς ἐπιδείκνινται καὶ μάλα* (12) *συμβαίνοισαν τῷ Διονύσῳ.* [5] *Κἀνταῦθα μὲν οἰδεὶς σίννοις οὕτω καὶ κατηφῆς* (13),

---

§ XIV.] 1. Cette page est tout entière de la même main que le folio 158 recto (voy. la note 19 du § X).

2. *Εὖ ἔφη τις τὸν θυμὸν μανίαν ὀλιγοχρόνιον εἶναι*, fragment *πα'* chez Boissonade, p. 297, avec cette note: « Themistius Orat. 22, p 328, *ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι*. Quod etiam dixit et Orat. 1, p. 7. Seneca De ira 1, 1, 2, *Quidam itaque e sapientibus viris iram dixerunt brevem insaniam.* Ibi Ruhkopf. Horatius Epist. 1, 2, 62, *Ira furor brevis est.* » Orelli dans une note sur le passage cité d'Horace, rapproche encore Philémon, p. 417, Meineke, *μανούμεθα πάντες, ὁπόταν ὀργιζώμεθα*, et Caton l'Ancien chez Stobée, XX, 68, *τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.* Cf. Galien, *Diagnostic et traitement des passions*, chap. 5 (t. V, p. 22), *ὅτι γὰρ ὁ θυμὸς οὐδὲν ἀποδεῖ μανίας, ἐξ αὐτῶν ἤδη ἂν ποιοῦμεν οἱ θυμούμενοι μαθεῖν ἔστιν*: H. Estienne, au *Thesaurus*, *s v. ὀλιγοχρόνιος*. « *Medici ὀλιγοχρόνιον μανίαν, Furorem s. Insaniam brevi durantem tempore dixerunt..., quae ... levi de causa exorta, statim evanescit.* » (Nous ignorons à quel texte des médecins grecs Estienne fait ici allusion.)

3. Lire *τὰ πλεῖστα δ' ἅπασιν*?

4. *λύπη* Ms.

5. Cf. *Éloge d'Aratios*, § V, 8 et la note 7.

6. Cf. § IV, 7, et la note 4.

7. *τὸν δέ ⟨τι⟩ παροξύνει*?

8. *νουθεσίας* Ms.

9. D'abord *οἰατίων* (?), changé (peut-être de seconde main) en *οἰκείων* Ms.

10. *τοιούτῳ* dans le texte, *τοσούτῳ* à la marge (de première main) Ms.

11. *ἐκβαίνουσι* Ms : *ἐκπαίνουσι* Tournier.

12. *μαλα*]. Nous n'avons pu déchiffrer le mot qui est ici dans le manuscrit: on dirait quelque chose comme *μωαλ* (ou *μάλλ*?). On a mis dans le texte *μάλα*, qui paraît convenir assez bien au sens.

13. Cf. *Éloge d'Aratios*, § XIII, 1, *μὴ ζηλώσας ἐκεῖνον τὸν κατηφῆ καὶ σύννουν Ἐπαμεινώνδαν*, et la note afférente à ce passage.

ὃς οὐ φαιδρότερος ἔσται· ἐκεῖ δὲ, πρᾶος οὕτω κεὐθυμός(14) ἐστιν οὐδείς, ὃς οὐκ ἐξάπτεται καὶ βοᾷ καὶ φιλονεικίας ἐμπίπλαται καὶ θυμοῦ. [6] Τοιγαροῦν ἀποδέχομαι τῶν πόλεων τὴν ἐπίνοιαν αἷς νενόμισται μίμους ἐν ταῖς τῶν ἵππων ἁμίλλαις μεταξὺ παίζειν τῶν ἄθλων, ἵνα τοῖς θεωμένοις μαλάξωσι(15) τὴν ὀργὴν, τὴν μὲν τῶν ἡττημένων πραΰνοντες λύπην, τὴν δὲ τῶν νενικηκότων ἀναστέλλοντες ὕβριν· κηλούμενοι γὰρ οἱ μὲν ἔλαττον ἀθυμοῦσιν, οἱ δὲ τὴν ἧτταν αὐτοῖς ὀνειδίζοντες παύονται, κἂν μὴ σύμπαν [fol. 161] τὸ(16) μέρος(17), ἀλλ' οἱ πλείους τὸν ἀριθμόν· κἂν ἡ πᾶσα τῶν νενικηκότων ἐπιμείνῃ(18) βοῶσα μερὶς, ἧττον τῆς ἐναντίας οἱ πλεῖστοι βοώντων ἀκούσονται περὶ μίμους ἠσχολημένοι. [7] Ἱπποδρομίας μὲν οὖν κἄρχησιν ὑπεραίρει τὸ πρᾶγμα τῷ μηδὲν στασιῶδες τοῖς δήμοις ἐμβάλλειν, θαυματοποιοὺς δὲ καὶ τραγῳδίας ὑπόκρισιν μετιόντας(19) καὶ λύρᾳ χρωμένους τῷ μὴ κόρον διδόναι· ἐκείνων γὰρ οὕτως ἐνεπλήσθησαν ἄνθρωποι τῶν θεαμάτων, ὡς μόλις δημοσιεύειν(20). [8] Οὐ τοίνυν μόνον τοσαύτην ὑπὲρ αὐτῶν ἀφθονίαν χορηγοῦσι δικαιωμάτων, ἀλλὰ καὶ τὴν πολιτείαν ἡμῖν οὐ μικρὰ πολλάκις εὐεργετοῦσιν, ἄρχοντας ἐν καιρῷ τοῖς σκώμμασι σωφρονίζοντες. [9] Ἀναβαίνει γὰρ αὐτοῖς καὶ μέχρι(21) δυναστείας ἡ παρρησία(22)· καὶ τῶν μὲν

---

14. καὶ ἄθυμός Ms.: κεὔθυμός Tournier.

15. μαλάζωσι première main (il semble qu'une main postérieure ait voulu corriger μαλάξωσι) Ms.

16. Avec le *folio* 161, la main qui a écrit la plus grande partie de ce discours reprend (voy. § X, note 19).

17. μέρος = *party of the Circus* (Sophocles, *Greek Lexicon of the Roman and Byzantine periods*, s. h. v.: nombreux exemples). Μερίς a le même sens plus bas dans cette même phrase, et aussi chez saint Grégoire de Nazianze, t. XXXVI, col. 304 A, Migne.

18. Peut-être vaudrait-il mieux écrire ἐπιμένῃ?

19. L'orateur fait allusion à des représentations de tragédies classiques. Bien que ce spectacle devînt de moins en moins goûté (Grysar, *Der Römische Mimus*, pp. 47 - 49), on voit par les inscriptions et chez les auteurs qu'il se donna encore de temps en temps des représentations de ce genre dans diverses parties de l'empire, jusque sous le règne de Justinien. (*Ibid.*, p. 47.) Le témoignage de Chorikios vient s'ajouter aux textes que l'on connaissait déjà. (Il est de nouveau question des acteurs tragiques plus bas, § XVII, 2.) — L'omission de l'article devant μετιόντας et χρωμένους est à noter.

20. Cf. Théophane, *Chronographie*, p. 281, l. 2, Classen, ἕκαστος ἐλεύθερος ὅπου θέλει ἀκινδύνως δημοσιεύει (*tuto atque impune in publicum procedere potest*).

21. χρι με (à ce qu'il semble) Ms.

22. Tout le monde a présentes à la mémoire les plaintes de Labérius, que César avait contraint, quoiqu'il eût le rang de chevalier, de monter sur la scène pour représenter lui-même ses mimes (Macrobe, *Saturnales*, II, 7). Grysar (*Der Römische Mimus*, p. 27) cite quelques exemples carac-

ἡγεμόνων οἱ φίλοι τὸν ὄγκον ὑποστέλλονται τῆς ἐξουσίας, κἂν ἴδωσί τι ποιοῦντας ἀνάξιον τῆς ἀρχῆς οὐ θαρροῦσιν ἐπιτιμᾶν, μίμοις δὲ πάρεστι σκώπτειν ἀφόβως. [10] Οὐ μὴν ἀποσκώπτοισι μὲν, ἀνάγκη δὲ περιφρονούμενοι γίνονται, ἀλλ' εἴροις ἂν τοὺς ἐνόχους ὄντας τοῖς σκώμμασιν ἢ πεπαιμένοις ἢ σπανιώτερον ἁμαρτάνοντας ἢ πειρωμένους ἐπισκιάζειν ἃ πρόσθεν ἀνέδην ἐτόλμων. [11] Παῦσαι τοίνυν αὐτοῖς λοιδορούμενος, μή που καὶ σὲ δικαίως ἀμυνόμενοι σκώψωσι. [12] Ποιοῦνται δὲ τὴν ἐπίπληξιν ἐφ' οἷς ἂν ταύτῃ χρήσασθαι δέῃ(23) οὐ μικρὰν οὕτω κἄκρατον, θέλγουσαν δέ πως ἅμα καὶ δάκνουσαν, τῇ συνήθει κεράσαντες χάριτι.

CHAPITRE III. — A peu de frais, les uns construisent des maisons commodes; d'autres à grands frais, des maisons incommodes. Certains possesseurs d'un riche mobilier, ne trouvent jamais dans leur maison ce dont ils ont besoin; d'autres, moins bien montés, ont toujours sous la main tout ce qu'il leur faut. Chez les uns, les esclaves sont enchaînés et se sauvent néanmoins, chez d'autres, ils sont laissés libres et restent de leur plein gré. L'agriculture, l'élève des chevaux, ruinent les uns, enrichissent les autres. Telle épouse fait la prospérité de la maison de son mari: telle autre lui mange sa fortune. Il en va ainsi de toute chose: il faut savoir conduire sa barque

CHAPITRE IV. — Mais le même homme ne peut apprendre tout art et toute science Les arts mécaniques avilissent l'homme. Il faut se tourner, à l'exemple du roi de Perse, vers l'art militaire et vers l'agriculture. Digressions sur l'administration de l'empire Perse, sur Cyrus l'Ancien, sur les qualités hors ligne qui distinguaient Cyrus le Jeune et sur une entrevue de ce prince avec Lysandre.

CHAPITRE V. - Éloge de l'agriculture.

CHAPITRE VI. — Socrate passe rapidement en revue les points sur lesquels Critoboulos et lui-même sont tombés d'accord jusqu'à ce moment de leur entretien. Critoboulos voudrait apprendre de Socrate le moyen de réussir dans l'agriculture. Socrate, qui se rend volontiers à son désir, propose de lui raconter une conversation qu'il eut un jour avec Ischomachos

CHAPITRE VII. — Conversation de Socrate avec Ischomachos:

Entrée en matière. Le mariage est à considérer comme une mise en commun des aptitudes diverses de la femme et du mari en vue de l'amélioration de la maison La maîtresse de maison s'occupe de l'intérieur, et le mari du dehors. Devoirs de la femme.

CHAPITRE VIII. — Les avantages de l'ordre.

CHAPITRE IX. — Le rangement et l'organisation de la maison d'Ischomachos Surveillance de la maîtresse de maison elle a plus à faire qu'aucun des domestiques.

CHAPITRE X. — Docilité de la femme d'Ischomachos à recevoir l'éducation que lui donne son mari. Elle désapprend de se farder. Hygiène de la maîtresse de maison.

CHAPITRE XI. — La vie d'Ischomachos. Sa piété; il fait ce qu'il faut pour être bien portant et vigoureux de corps, recevoir des honneurs dans sa cité, se concilier le bon vouloir de ses amis, se tirer sain et sauf des dangers de la guerre, augmenter honnêtement sa fortune. Emploi de la journée d'Ischomachos. Comment il s'exerce pour savoir, à l'occasion, se faire rendre justice et se défendre des accusations portées contre lui.

CHAPITRES XII-XIV. — Choix, éducation, surveillance des ouvriers de la ferme.

CHAPITRE XV. — La culture de la terre est un métier facile à apprendre.

CHAPITRES XVI-XVII. — Étude de la nature du sol; du labour, de l'ensemencement, de la destruction des mauvaises herbes.

CHAPITRE XVIII. — De la moisson. Le blé battu et vanné.

CHAPITRE XIX. — De la plantation de la vigne, du figuier, de l'olivier.

CHAPITRE XX. — Ceux qui font de mauvaises affaires dans l'agriculture en sont redevables uniquement à leur négligence. Ischomachos est d'avis qu'il faut acheter des cultures en mauvais état, et les remettre en bon rapport à force de soins: c'est un excellent moyen de faire fortune.

CHAPITRE XXI ET DERNIER. — Apprendre la science de l'agriculture n'est rien. Mais, en toutes choses, d'être capable de commander, de savoir se faire obéir toujours volontiers, c'est là un grand art, bien difficile à acquérir; c'est le talent suprême, à vrai dire un talent divin.

NOTA. — Dans le récit de la conversation échangée entre Critoboulos et Socrate, récit qui fournit l'entrée en matière et le *cadre* de l'*Économique*, il se détache d'abord un entretien que Socrate eut avec Ischomachos et qu'il rapporte ici textuellement à Critoboulos: nous *ouvrons les guillemets au commencement de chaque alinéa* de cet entretien. Mais Ischomachos, à son tour, au cours de l'entretien en question, cite, et toujours textuellement, ses causeries avec sa femme, ou, une autre fois, avec un matelot; de même Socrate, au milieu de ce même entretien avec Ischomachos, rapporte en termes propres la repartie d'un palefrenier: cette repartie, ces causeries, en tant que citations à l'intérieur de citations, sont *guillemetées en tête de chaque ligne*. Partout où dans la suite du dialogue on cesse d'apercevoir aucuns guillemets, c'est qu'on se retrouve là en présence du récit primitif, de ce que j'ai appelé le *cadre*. Grâce au partage constant du dialogue en alinéas, à l'annonce de chaque interlocuteur par son initiale, et à l'emploi qui vient d'être expliqué des guillemets, les élèves devront pouvoir suivre sans peine la marche du dialogue et le développement un peu compliqué de ce récit à scènes qui s'emboîtent les unes dans les autres.

ΞΕΝΟΦΩΝΤΟΣ

ΟΙΚΟΝΟΜΙΚΟΣ[1]

CHAPITRE PREMIER.

Ἤκουσα δέ ποτε αὐτοῦ[2] *καὶ περὶ οἰκονομίας τοιάδε*[3] *διαλεγομένου.*

ΣΩΚΡΑΤΗΣ. Εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε[4], *ἆρά γε ἡ οἰκονομία ἐπιστήμης τινὸς ὄνομά ἐστιν, ὥσπερ ἡ ἰατρικὴ καὶ ἡ χαλκευτικὴ καὶ ἡ τεκτονική;*

ΚΡΙΤΟΒΟΥΛΟΣ. Ἔμοιγε δοκεῖ, ἔφη ὁ Κριτόβουλος.

Σ. Ἦ καὶ ὥσπερ τούτων τῶν τεχνῶν ἔχομεν ἂν εἰπεῖν ὅ τι

---

1. Sous-entendu soit *λόγος*, soit *ἀνήρ*. D'autres opuscules de Xénophon sont intitulés de même *Ἱππαρχικός*, *Κυνηγετικός*, un dialogue de Platon, *Πολιτικός*.

2. *Αὐτοῦ*, c'est-à-dire *Σωκράτους*. Originairement, l'*Économique*, à ce que croient plusieurs critiques, faisait partie d'un grand ouvrage, destiné à défendre la mémoire de Socrate, et paraissant avoir été composé par Xénophon en réponse à un écrit, qui jouit d'une certaine vogue dans les premières années du quatrième siècle avant Jésus-Christ, la *Κατηγορία Σωκράτους* par le sophiste Polycrates. Cette apologie comprenait, outre les *Mémorables* et l'*Économique*, peut-être aussi le *Banquet*. C'est ce qui expliquerait la présence de la particule de liaison *δέ*, et l'emploi du pronom *αὐτοῦ* pour désigner Socrate, dont il vient déjà d'être question tout le long des *Mémorables*.

3. *Τοιαδί*, *ταδί* se rapportent toujours à ce qui suit; *τοιαῦτα*, *ταῦτα*, au contraire, à ce qui précède.

4. *Κριτόβουλε*, Critoboulos, fils de ce Criton, l'un des plus fidèles disciples de Socrate, que Platon a mis en scène dans le dialogue qui porte son nom. Doué d'une intelligence médiocre, mais d'une beauté rare, Critoboulos reçoit d'utiles conseils de Socrate, au sujet de sa conduite, dans les *Mémorables* (I, 3 et II, 6 ; et il figure parmi les personnages du *Banquet* de Xénophon (III, 7; IV, 10 et suivants). Il tenait de son père une grande fortune.

ἔργον ἑκάστης, οὕτω καὶ τῆς οἰκονομίας δυναίμεθ' ἂν εἰπεῖν ὅ τι ἔργον αὐτῆς ἐστι (5);

K. Δοκεῖ γοῦν, ἔφη ὁ Κριτόβουλος, οἰκονόμου ἀγαθοῦ εἶναι εὖ οἰκεῖν τὸν ἑαυτοῦ οἶκον.

Σ. Ἦ καὶ τὸν ἄλλου δὲ οἶκον, ἔφη ὁ Σωκράτης, εἰ ἐπιτρέποι τις αὐτῷ, οἰκ ἂν δύναιτο, εἰ βούλοιτο, εὖ οἰκεῖν, ὥσπερ καὶ τὸν ἑαυτοῦ; Ὁ μὲν γὰρ τεκτονικὴν ἐπιστάμενος ὁμοίως ἂν καὶ ἄλλῳ δύναιτο ἐργάζεσθαι ὅ τι περ καὶ ἑαυτῷ· καὶ ὁ οἰκονομικός γ' ἂν ὡσαύτως (6);

K. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.

Σ. Ἔστιν ἄρα, ἔφη ὁ Σωκράτης, τὴν τέχνην ταύτην ἐπισταμένῳ, καὶ εἰ μὴ αὐτὸς τύχοι χρήματα ἔχων, τὸν ἄλλου οἶκον οἰκονομοῦντα ὥσπερ καὶ οἰκοδομοῦντα μισθοφορεῖν;

K. Νὴ Δία, καὶ πολύν γε μισθὸν, ἔφη ὁ Κριτόβουλος, φέροι ἄν, εἰ δύναιτο οἶκον παραλαβὼν τελεῖν τε ὅσα δεῖ καὶ περιουσίαν ποιῶν (7) αὔξειν τὸν οἶκον.

Σ. Οἶκος δὲ δὴ τί δοκεῖ ἡμῖν εἶναι; Ἆρα ὅπερ (8) οἰκία, ἢ καὶ, ὅσα τις ἔξω τῆς οἰκίας κέκτηται, πάντα τοῦ οἴκου ταῦτά ἐστιν;

K. Ἐμοὶ γοῦν, ἔφη ὁ Κριτόβουλος, δοκεῖ, καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ (9), πάντα τοῦ οἴκου εἶναι ὅσα τις κέκτηται.

Σ. Οὐκοῦν καὶ ἐχθροὺς κέκτηνταί τινες;

K. Νὴ Δία, καὶ πολλούς γε ἔνιοι.

Σ. Ἦ καὶ κτήματα αὐτῶν φήσομεν εἶναι τοὺς ἐχθρούς;

K. Ἥλιον μεντἂν εἴη, ἔφη ὁ Κριτόβουλος, εἰ ὁ τοὺς ἐχθροὺς αὔξων προσέτι καὶ μισθὸν τούτου φέροι (10).

Σ. Ὅτι (11) τοι ἡμῖν ἐδόκει οἶκος ἀνδρὸς εἶναι ὅπερ (12) κτῆσις.

K. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ὅ τι γέ τις ἀγαθὸν κέκτηται· οὐ μὰ Δί', οὐκ, εἴ τι κακὸν, τοῦτο κτῆμα ἐγὼ καλῶ.

Σ. Σὺ δ' ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα κτήματα καλεῖν.

---

5. Ὅ τι ἔργον αὐτῆς ἐστι. Quel est l'objet de l'économie.
6. Καὶ ὁ οἰκονομικός . . . . Construction complète: *Καὶ ὁ οἰκονομικός ὡσαύτως καὶ τὸν ἄλλου δύναιτο οἶκον εὖ οἰκεῖν ὥσπερ τὸν ἑαυτοῦ;*
7. Τελεῖν . . . . ποιῶν. Payer ce qu'il faut, et, faisant des économies, etc.
8. Ὅπερ, précisément la même chose que.
9. Αὐτῇ τῷ κεκτημένῳ, la même que le propriétaire, c'est-à-dire « dans la ville même qu'habite le propriétaire. »
10. Cf. Ibid., ligne 14: *μισθὸν φέροι ἄν, εἰ δύναιτο . . . . αὔξειν τὸν οἶκον.*
11. Ὅτι, c'est que.
12. Cf. ci-dessus la note 8.

Κ. Πάνυ μὲν οὖν, ἔφη· τὰ δέ γε βλάπτοντα ζημίαν ἐγωγε
μᾶλλον ἢ χρήματα.

Σ. Κἂν ἄρα γέ τις ἵππον πριάμενος μὴ ἐπίστηται αὐτῷ χ
σθαι, ἀλλὰ καταπίπτων ἀπ' αὐτοῦ κακὸν λαμβάνῃ, οὐ χρήμ
αὐτῷ ἐστιν ὁ ἵππος(13);

Κ. Οὔκ, εἴπερ τὰ χρήματά γ' ἐστὶν ἀγαθόν(14).

Σ. Οὐδ' ἄρα γε ἡ γῆ ἀνθρώπῳ ἐστι χρήματα, ὅστις οὕτως
χεῖται αὐτὴν ὥστε ζημιοῦσθαι ἐργαζόμενος;

Κ. Οὐδὲ ἡ γῆ μέντοι(15) χρήματά ἐστιν, εἴπερ ἀντὶ τοῦ τρέ
φειν τὸν φυτεύσαντα.

Σ. Οὐκοῦν καὶ τὰ τρόφιμα ὡσαύτως. εἴ τις διὰ τὸ μὴ
ἐπίστασθαι τροφίμοις χρῆσθαι ζημιοῖτο, οὐδὲ τὰ τρόφιμα χρήμ
ατ' ἂν εἴη ἄν;

Α. Οὐκοῦν ἔμοιγε δοκεῖ(16).

Σ. Σὺ μὲν ἄρα ὡς ἔοικε, τὰ μὲν ὠφελοῦντα χρήματα ἡγεῖ(17),
τὰ δὲ βλάπτοντα οὔ χρήματα.

Α. Οὕτω.

Σ. Ἴσως τοίνυν ὀρθῶς ἂν τὸ μὲν ἐπιστάμενον χρῆσθαι αὐτῶν
τὰ χρήματα εἴη, τὸ δὲ μὴ ἐπιστάμενον οὐ χρήματα· ὥσ
τε εἰ καὶ τῷ μὲν ἐπιστημονι εἶεν ἂν ἔργου κτᾶσθαι χρήματά
τῷ δὲ μὴ ἐπιστημονι οὐδὲν μᾶλλον ἔργου κτᾶσθαι λύπην — εἰ
γε ὀρθὴ ἡ ἀρτίη νῦν ἐλήλυθε —. Ἴσως οὖν χρεὼν ἡμῖν, ἐπιδιώκε
τὸν τὰ μὲν χρήματα ἂν ἐπιδιώκοντα, τὰ δὲ οὐ χρήματα οὐκ ἐπιδιώκειν,
— τὸν δὲ μὴ ἐπιστάμενον οὐδὲ τὰ χρήματα —.

Α. Ἀληθῆ λέγεις, ὦ Σώκρατες· ἔστιν ἡμῖν χρ
ματα τὰ ὠφελοῦντα χρήματα εἶναι(18). Μὴ τοί
νυν τὸν μὴ ἐπιστάμενον χρῆσθαι αὐτοῖς μηδὲν μᾶλλον χρή
ματα ἡγεῖσθαι

Σ. [illegible]

Σ. [illegible]

τοῦτο ᾧ μὴ ἐπίσταιτο χρῆσθαι, οὐδὲ πωλούμενοί εἰσι χρήματα κατά γε τὸν σὸν λόγον.

Κ. Λέγειν ἔοικας, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸ ἀργύριόν ἐστι χρήματα, εἰ μή τις ἐπίσταιτο χρῆσθαι αὐτῷ.

Σ. Καὶ σὺ δέ μοι δοκεῖς συνομολογεῖν λέγων, ἀφ' ὧν τις ὠφελεῖσθαι δύναται, χρήματα εἶναι. Εἰ γοῦν τις οὕτω χρῷτο τῷ ἀργυρίῳ ὥστε, πριάμενος οἷον ἑταίραν, διὰ ταύτην κάκιον (21) μὲν τὸ σῶμα ἔχοι, κάκιον δὲ τὴν ψυχὴν, κάκιον δὲ τὸν οἶκον, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη;

Κ. Οὐδαμῶς, εἰ μή πέρ γε καὶ τὸν ὑοσκύαμον (22) καλούμενον χρήματα εἶναι φήσομεν, ὑφ' οὗ οἱ φαγόντες παραπλῆγες γίγνονται.

Σ. Τὸ μὲν δὴ ἀργύριον, εἰ μή τις ἐπίσταιτο αὐτῷ χρῆσθαι, οὕτω πόρρω ἀπωθείσθω, ὦ Κριτόβουλε, ὥστε μηδὲ χρήματα εἶναι(23). Οἱ δὲ φίλοι, ἤν τις ἐπίστηται αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι;

Κ. Χρήματα, νὴ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ πολύ γε μᾶλλον ἢ τοὺς βοῦς, ἤν ὠφελιμώτεροί γε ὦσι (24) τῶν βοῶν.

Σ. Καὶ οἱ ἐχθροί γε ἄρα κατά γε τὸν σὸν λόγον χρήματά εἰσι τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι.

Κ. Ἐμοὶ γοῦν δοκεῖ.

Σ. Οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν(25).

Κ. Ἰσχυρότατά γε.

. . . . . .

. . . . . (26)

Σ. Καὶ γὰρ δὴ ὁρᾷς, ἔφη, ὦ Κριτόβουλε, ὅσοι μὲν δὴ οἶκοι ἰδιωτῶν ηὐξημένοι εἰσὶν ἀπὸ πολέμου, ὅσοι δὲ τυράννων.

---

21. Κάκιον, adverbe (les trois fois): «en plus mauvais état.»

22. Ὑοσκύαμον, *jusquiame*, genre de la famille des Solanées renfermant une quinzaine d'espèces, toutes plantes herbacées; toutes les jusquiames sont narcotiques et vénéneuses.

23. Τὸ μὲν.... εἶναι. «L'argent, tant qu'il est entre les mains d'homme qui n'en sçait user, renvoyons le si loing et en faisons si peu de compte, qu'il ne soit pas seulement compté entre les biens de celuy qui l'a.» (Trad. d'Estienne de la Boëtie.)

24. Ἤν γε peut se traduire ici par «s'il est vrai que».

25. Ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. Plutarque, frappé à la lecture de l'*Économique*, de la portée de cette formule: *tirer parti de ses ennemis*, composa, pour la développer, un petit traité, qui nous a été conservé, parmi ses *Œuvres morales*, sous le titre Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο.

26. Le texte, à ce qu'il semble, présente ici une lacune considérable. Socrate devait exposer, dans cette partie perdue du texte, comment on peut tirer parti de ses ennemis: ce n'est pas seulement en leur faisant la guerre qu'on peut retirer d'eux du profit.

Κ. Ἀλλ' ἔστι μὲ τοῦτο ἄλλος [illegible] Σωκράτη, ἔφη ὁ Κριτόβουλος, ἐπεὶ δ' ἐγὼ τί φαίνεται, ἐπειδὴ ὁρῶ τοὺς ἑταίρους οὐκ ἀργοὺς ὄντας ἀλλὰ πολλὰ ἐργαζομένους, ἐπιδεικνύειν ἐμαυτῷ τοὺς ἐμοὺς ἑταίρους οὐκ ἀργοὺς ὄντας; ἐπιδεικνύειν δὲ αὐτὰ τὰ ἔργα τῶν ἑταίρων· καὶ ἅμα τούτου ἀρξάμενον ἐπιδεικνύναι μοι αὐτοῦ τοὺς ἑταίρους. Ἀλλὰ τί ἡ τούτων αἱ οὐσίαι καὶ αἱ ἐπιτήδειαι χρήματα εἰσὶν οὔτε τὰ τυχόντα;

Σ. Περὶ δούλων μοι, ἔφη ὁ Σωκράτης, ὑμνεῖς, ὦ Κριτόβουλε, διαλέγεσθαι.

Κ. Οὐ μὰ Δί', ἔφη, οὐκ ἔγωγε, ἀλλὰ περὶ τῶν εὐπατριδῶν[28] ὄντων[29] γε δικαίων εἶναι, οὓς ἐγὼ ὁρῶ τοὺς μὲν καὶ τοῖς σώμασι, τοὺς δὲ καὶ[30] εἰρηνικὰς ἐπιστήμας ἐπισταμένους ἔχοντας, τούτους δὲ οὐκ ἐθέλοντας ἐργάζεσθαι, ὡς μὲν ἐγὼ οἶμαι, δι' αὐτὸ τοῦτο ὅτι δικαίους οὐκ ἔχουσιν.

Σ. Καὶ τίς ἄν, ἔφη ὁ Σωκράτης, δικαίους οὐκ ἔχοιεν, εἰ εἰχόμενοί γε ἐθέλοιεν καὶ τοῖς βελτίστοις ἀεὶ ὧν ἔχοιεν ὁμοῦ, ἔπειτα πολλάκις καὶ τοῦτο ἐπὶ τῶν ἐργόντων;

Κ. Καὶ τίνες δή, αὖτοί εἰσιν, ἔφη ὁ Κριτόβουλος, οἱ ἀφανεῖς ὄντες ἔργασίαν αὐτῶν;

Σ. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἀφανεῖς εἰσιν, ἀλλὰ καὶ πάνυ φανεροί. Καὶ ὅτι πονηρότατοί γέ εἰσιν, οὐδὲ σὲ λανθάνουσιν, εἴ τιν' ἐπονηρίαν γε νομίζεις ἐργίαν τ' εἶναι καὶ παλαιὰν ὑπάρχειν καὶ ἐμέλειαν. Καὶ ἄλλα δ' εἰσὶν ἀτεχνῶς τοιαῦτα ἃ πανταχοῦ τοιαῦτα φανερὰ εἶναι, καὶ θεῖαι τε καὶ ἀνθρώπειαι ἁμαρτίαι, αἳ τοσούτου τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξεταζομένοις καταφανεῖς γίγνονται ὅτι λῷστα ἄρα ἦσαν ἰδόντας τερπνὰ πεπαμένα, εἰ διασωθείησαν αὐτοῖς ἀπὸ τῶν ὠφελίμων ἔργων κρατοῦσαι.

Κ. Ἀλλὰ καὶ ἄλλοι, ἔφη, ὦ Σώκρατες, ἐργάζονται μὲν οὐ κολάζονται ὑπὸ τούτων, ἀλλὰ καὶ πάνυ σφοδρῶς πρὸς τὸ ἐργά-

---

27. *Οὔτε αἱ . . . κτήματα* Ni leurs talents, *αἱ ἐπιτήδειαι*, ni leurs biens, *τὰ κτήματα* (equivalent à *οὐσίαι*, cinq lignes plus haut), ne sont richesses, *χρήματα*, pour ces personnes

28. *Εὐπατριδῶν* La tradition faisait remonter à Thésée l'antique division du peuple athénien en 3 classes à savoir : les *εὐπατρίδαι* ou la noblesse, les *γεωμόροι* ou la classe bourgeoise et les petits propriétaires du sol, enfin les *δημιουργοί*, les ouvriers ou la basse classe.

29. *Ὄντων* dépend de *περὶ*, qui est sous entendu comme ayant été exprimé à la phrase précédente devant *δούλων* En pareil cas le grec ne répète jamais la préposition

30 Souvent les deux membres d'une opposition sont ainsi marqués par *ὁ μὲν καὶ . . . , ὁ δὲ καὶ . . .*

ζεσθαι ἔχουσι καὶ μηχανᾶσθαι προσόδους· ὅμως δὲ καὶ τοὺς οἴκους κατατρίβουσι καὶ ἀμηχανίαις συνέχονται.

Σ. Δοῦλοι γάρ εἰσι καὶ οὗτοι, ἔφη ὁ Σωκράτης, καὶ πάνυ γε χαλεπῶν δεσποτῶν, οἱ μὲν λιχνειῶν, οἱ δὲ λαγνειῶν, οἱ δὲ οἰνοφλυγιῶν, οἱ δὲ φιλοτιμιῶν τινων μώρων καὶ δαπανηρῶν, ἃ οὕτω χαλεπῶς ἄρχει τῶν ἀνθρώπων ὧν ἂν ἐπικρατήσωσιν, ὥσθ' ἕως μὲν ἂν ὁρῶσιν ἡβῶντας αὐτοὺς καὶ δυναμένους ἐργάζεσθαι, ἀναγκάζουσι φέρειν ἃ ἂν αὐτοὶ ἐργάσωνται (31) καὶ τελεῖν εἰς τὰς αὐτῶν ἐπιθυμίας, ἐπειδὰν δὲ αὐτοὺς ἀδυνάτους αἴσθωνται ὄντας ἐργάζεσθαι διὰ τὸ γῆρας, ἀπολείπουσι τούτους κακῶς γηράσκειν (32), ἄλλοις δ' αὖ πειρῶνται δούλοις (33) χρῆσθαι. Ἀλλὰ δεῖ, ὦ Κριτόβουλε, πρὸς ταῦτα οὐχ ἧττον διαμάχεσθαι περὶ τῆς ἐλευθερίας ἢ πρὸς τοὺς σὺν ὅπλοις πειρωμένους καταδουλοῦσθαι. Πολέμιοι γοῦν ἤδη, ὅταν καλοὶ κἀγαθοὶ ὄντες καταδουλώσωνταί τινας, πολλοὺς δὴ βελτίους ἠνάγκασαν εἶναι σωφρονίσαντες, καὶ ῥᾷον βιοτεύειν τὸν λοιπὸν χρόνον ἐποίησαν· αἱ δὲ τοιαῦται δέσποιναι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς καὶ τοὺς οἴκους οὔποτε λήγουσιν, ἔστ' ἂν (34) ἄρχωσιν αὐτῶν.

CHAPITRE II.

Ὁ οὖν Κριτόβουλος ἐκ τούτων (1) ὧδέ πως εἶπεν·

Κ. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀρκούντως πάνυ μοι δοκῶ τὰ λεγόμενα ὑπὸ σοῦ ἀκηκοέναι· αὐτὸς δ' ἐμαυτὸν ἐξετάζων δοκῶ μοι εὑρίσκειν ἐπιεικῶς τῶν τοιούτων ἐγκρατῆ ὄντα, ὥστ', εἴ μοι συμβουλεύοις ὅ τι ἂν ποιῶν αὔξοιμι τὸν οἶκον, οὐκ ἄν μοι δοκῶ ὑπό γε τούτων ὧν σὺ δεσποινῶν (2) καλεῖς κωλύεσθαι· ἀλλὰ θαρρῶν συμβούλευε ὅ τι ἔχεις ἀγαθόν. Ἦ κατέγνωκας ἡμῶν, ὦ Σώκρατες, ἱκανῶς πλουτεῖν καὶ οὐδὲν δοκοῦμεν σοι προσδεῖσθαι χρημάτων;

Σ. Οὔκουν ἔγωγ', ἔφη ὁ Σωκράτης, εἰ καὶ περὶ ἐμοῦ (3) λέγεις,

---

31. Ἀναγκάζουσι .... ἐργάσωνται. « Elles les contraignent de leur porter tout ce qu'ils tirent de la peine qu'ils prennent. » (La Boëtie.) Φέρειν, de leur apporter (comme un tribut).

32 Κακῶς γηράσκειν, vieillir misérablement.

33. Ἄλλοις .... δούλοις, d'autres *comme* esclaves.

34. Ἔστ' ἄν, tant que, pendant tout le temps que.

Ch. II.] 1. Ἐκ τούτων, là-dessus, alors.

2. Pour ὑπό γε τούτων ἃς σὺ δεσποίνας καλεῖς (attraction). Ἄν tombe sur l'infinitif κωλύεσθαι.

3. Καὶ περὶ ἐμοῦ, aussi de moi. Critoboulos, en employant le pluriel (ἡμῶν, δοκοῦμεν), ne voulait parler que de lui seul. Socrate, par plaisanterie, a l'air de croire qu'il parlait d'eux deux.

οὐδέν μοι δοκῶ προσδεῖσθαι χρημάτων, ἀλλ' ἱκανῶς πλουτεῖν (4)· σὺ μέντοι, ὦ Κριτόβουλε, πάνυ μοι δοκεῖς πένεσθαι, καὶ, ναὶ μὰ Δί', ἔστιν ὅτε καὶ πάνυ οἰκτείρω σε ἐγώ.

Καὶ ὁ Κριτόβουλος γελάσας εἶπε·

Κ. Καὶ πόσου ἂν (5), πρὸς τῶν θεῶν, οἴει, ὦ Σώκρατες, ἔφη, εἶρεῖν (6) τὰ σὰ κτήματα πωλούμενα, πόσον δὲ τὰ ἐμά;

Σ. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, εἰ ἀγαθοῦ ὠνητοῦ ἐτύγχοιμι, εἶρεῖν ἄν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ ὄντα πάντα λάνυ ῥᾳδίως πέντε μνᾶς· τὰ μέντοι σὰ ἀκριβῶς οἶδα ὅτι πλέον ἂν εἴροι ἢ ἑκατονταπλασίονα τούτου.

Κ. Κἆτα, οὕτως ἐγνωκὼς (7), σὺ μὲν οὐχ ἥκεις (8) προσδεῖσθαι χρημάτων, ἐμὲ δὲ οἰκτείρεις ἐπὶ τῇ πενίᾳ;

Σ. Τὰ μὲν γὰρ ἐμὰ, ἔφη, ἱκανά ἐστιν ἐμοὶ παρέχειν τὰ ἐμοὶ ἀρκοῦντα· εἰς δὲ τὸ σὸν σχῆμα ὃ σὺ περιβέβλησαι (9) καὶ τὴν σὴν δόξαν, οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι προσγένοιτό σοι (10), οὐδ' ὡς ἱκανά μοι δοκεῖ εἶναι σοι.

Κ. Πῶς δὴ τοῦτ'; ἔφη ὁ Κριτόβουλος.

Ἀπεφήνατο ὁ Σωκράτης·

Σ. Ὅτι πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν θύειν πολλά τε καὶ μεγάλα (11), ἢ οὔτε θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε ἂν ἀνασχέσθαι· ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι, καὶ τούτοις μεγαλοπρεπῶς (12)· ἔπειτα δὲ πολίτας δειπνίζειν (13) καὶ εὖ

---

4. Ἀλλ' ἱκανῶς . . . . Entendez: *ἀλλά μοι δοκῶ ἱκανῶς πλουτεῖν.*

5. Ἂν tombe sur l'infinitif. Ainsi, supprimez *οἴει*, et vous aurez: *πόσου ἂν εἴροι κτλ.*

6. *Εἰρεῖν*, se vendre.

7. Κἆτα . . . . C'est comme s'il y avait: *Καὶ οὕτως ἐγνωκὼς, εἶτα κτλ*

8. Ἥκεις. Cf page 246, note 17.

9. Τὸ σὸν . . . . *περιβέβλησαι*: le train de maison que tu as

10. Εἰ τρὶς . . . . σοι. «S'il t'en venoit encores trois fois autant que tu en as à ceste heure.» (La Boëtie.) C'est-à-dire si ta fortune était *quadruplée*

11. Ἀνάγκην . . . . μεγαλα. Obligation, non définie d'ailleurs par la loi, pour le riche de faire souvent de beaux sacrifices aux dieux. En y manquant, 1° il n'eût pas attiré sur sa patrie la protection des *dieux*, 2° pour cela même, et aussi parce que c'était l'usage de distribuer les viandes des victimes au peuple, il eût indisposé contre lui les *hommes*

12. Ξένους . . . μεγαλοπρεπῶς. Obligation morale pour le riche d'exercer l'hospitalité envers les citoyens d'autres villes qui venaient dans sa patrie, soit pour exercer une mission publique, soit même en simples particuliers; on y gagnait quelquefois le titre de «proxène et bienfaiteur» de ces villes, mais au moins du crédit auprès des cités étrangères et, partant, de l'influence dans sa propre patrie.

13. *Πολίτας δειπνίζειν.* Les citoyens d'une même tribu se réunissaient, à des époques réglées, pour prendre un repas en commun. Les frais d'un de ces banquets montaient, approximativement, à un minimum de 700

ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι. Ἔτι δὲ καὶ τὴν πόλιν αἰσθάνομαι τὰ μὲν ἤδη σοι προστάττουσαν ἱπποτροφίας (14) τε καὶ χορηγίας (15) καὶ γυμνασιαρχίας (16) καὶ προστατείας (17)· ἢν δὲ δὴ πόλεμος γένηται, οἶδ' ὅτι καὶ τριηραρχίας (18) καὶ εἰσφορὰς (19) τοσαύτας σοι προστάξουσιν ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. Ὅπου δ' ἂν ἐνδεῶς δόξῃς τι τούτων ποιεῖν, οἶδ' ὅτι σε τιμωρήσονται Ἀθηναῖοι οὐδὲν ἧττον ἢ εἰ τὰ αὐτῶν λάβοιεν κλέπτοντα. Πρὸς δὲ τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ ἀμελῶς μὲν ἔχοντα πρὸς τὸ μηχανᾶσθαι χρήματα, παιδικοῖς δὲ πράγμασι προσέχοντα τὸν νοῦν, ὥσπερ ἐξόν σοι (20)· Ὧν ἕνεκα οἰκτείρω σε μή (21) τι ἀνήκεστον κακὸν πάθῃς καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς. Καὶ ἐμοὲ μεν, εἴ τι καὶ προσδεηθείην, οἶδ' ὅτι καὶ σὺ γιγνώσκεις ὡς εἰσὲν οἳ καὶ ἐπαρκέσειαν (22) ἂν ὥστε, πάνυ μικρὰ πορίσαντες, κατακλύσειαν (22) ἂν ἀφθονίᾳ τὴν ἐμὴν δίαιταν· οἱ δὲ σοι φίλοι

---

francs de la monnaie d'alors. La dépense était supportée, ainsi que celles des autres charges publiques dont il est question dans la suite de la phrase, par les riches de chaque tribu, à partir d'une fortune minimum d'environ 18 000 fr. (monnaie d'alors), à tour de rôle suivant un ordre déterminé par la loi.

14. *Ἱπποτροφίας.* Les citoyens des deux classes les plus élevées d'Athènes devaient entretenir des chevaux, 1° en vue du service militaire, dont ils s'acquittaient dans la cavalerie; 2° pour figurer à cheval dans les processions aux fêtes religieuses. 3° Il était de bon ton de *faire courir* dans les grands jeux de la Grèce (jeux Olympiques, etc.)

15. *Χορηγίας.* La *chorégie* consistait à faire les frais d'instruction et de costume pour les chœurs qui figuraient dans les solennités religieuses, tels que les chœurs cycliques (voy. la note antépénultième du Chap. VIII), chœurs de pyrrhique (sorte de danse), chœurs des tragédies et des comédies; les frais de toute sorte qu'entraînaient les représentations théâtrales étaient à la charge des chorèges.

16. *Γυμνασιαρχίας* La *gymnasiarchie* ou *lampadarchie* consistait principalement à faire les frais des *courses aux flambeaux* qui se donnaient à l'occasion des grandes fêtes. comme les Panathénées ou fêtes d'Athéné, les fêtes en l'honneur de Prométhée, d'Héphaistos, etc.

17. *Προστατείας*, les présidences (en général). Certaines présidences, notamment celle des *θεωρίαι*, ou l'archithéorie, étaient fort coûteuses. (*Théorie*, députation publique envoyée pour prendre part à la fête d'une divinité, célébrée dans une ville étrangère.)

18. *Τριηραρχίας.* La *triérarchie*, la plus lourde des charges à Athènes, consistait dans la participation à l'armement ou à l'entretien de la flotte.

19. *Εἰσφορὰς*, contributions extraordinaires payées par les citoyens pour subvenir aux frais de guerre.

20. *Ὥσπερ ἐξόν σοι* équivaut à *ὥσπερ εἰ ἐξείη σοι.*

21. *Μή* est commandé par l'idée de *craindre*, qui est sous-entendue: «Voilà pourquoi j'ay pitié de toi. *et ay grand peur* que à la fin il ne t'en faille souffrir quelque mal incurable.» (La Boëtie.)

22. *Ἐπαρκέσειαν, κατακλύσειαν.* Les formes d'optatif en *ειας, ειε, ειαν*, étaient employées par les Attiques de préférence à celles en *αις, αι, αιεν.*

πολὺ ἀρκοῦντα σοὶ μᾶλλον ἔχοντες τῇ ἑαυτῶν κατασκευῇ ἢ σὺ τῇ σῇ (23) ὅπως ὡς παρὰ σοὶ ὠφελησόμενοι ἀποβλέπουσι.

Καὶ ὁ Κριτόβουλος εἶπεν·

Κ. Ἐγὼ τούτοις, ὦ Σώκρατες, οὐκ ἔχω ἀντιλέγειν· ἀλλ' ὅρα σοι προστατεύειν ἐμοῦ (24), ὅπως μὴ τῷ ὄντι οἰκτρὸς γένωμαι.

Ἀκούσας οὖν ὁ Σωκράτης εἶπε·

Σ. Καὶ οὐ θαυμαστὸν δοκεῖς, ὦ Κριτόβουλε, τοῦτο σαυτῷ ποιεῖν ὅτι ὀλίγον μὲν πρόσθεν, ὅτε ἐγὼ ἔφην πλουτεῖν, ἐγέλασας ἐπ' ἐμοὶ ὡς οὐδὲ εἰδότι ὅ τι εἴη πλοῦτος, καὶ πρότερον οὐκ ἐπαίσω πρὶν ἐξήλεγξάς με καὶ διολογεῖν ἐποίησας μηδὲν ἑκατοστὸν μέρος τῶν σῶν (25) κεκτῆσθαι, νῦν δὲ κελεύεις προστατεύειν μέ σοι καὶ ἐπιμελεῖσθαι ὅπως ἂν μὴ παντάπασιν ἀληθῶς πένης γένωμαι;

Κ. Ὁρῶ γάρ (26) σε, ἔφη, ὦ Σώκρατες, ἔν τι πλουτηρὸν ἔργον ἐπιστάμενον, περιουσίαν ποιεῖν (27). Τὴν οὖν ἀπ' ὀλίγων περιοῦσαν (28) ἐλπίζω ἀπὸ πολλῶν γ' ἂν πάνυ ῥᾳδίως πολλὴν περιουσίαν ποιῆσαι.

Σ. Οἶσθα μέντοι ἀρτίως ἐν τῷ λόγῳ, ὅτε οὐδ' ἀναριθμεῖν μοι ἐξουσίαν ἐποίησας (29), λέγων (30) ὅτι τῷ μὴ ἐπισταμένῳ ὅπως χρῆσθαι οὐκ εἴη χρήματα οἱ ἵπποι, οὐδὲ ἡ γῆ, οὐδὲ τὰ πρόβατα, οὐδὲ ἀργύριον, οὐδὲ ἄλλο οὐδὲν, ὅτῳ τις μὴ ἐπίσταιτο χρῆσθαι; Εἰσὶ μὲν οὖν (31) αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων· ἐμὲ δὲ πῶς τινι τούτων οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν (32) οὐδὲν πώποτ' ἐγένετο τούτων;

---

23. *Πολυ . . . τῇ σῇ.* Construisez, *ἔχοντες πολυ μᾶλλον σοῦ ἀρκοῦντα τῇ ἑαυτῶν κατασκευῇ*. Quant aux mots *ἢ σὺ τῇ σῇ*, ils forment pléonasme, et sont ajoutés pour la plus grande clarté de la pensée

24. *Προστατεύειν ἐμοῦ*, me patronner, te faire mon *προστάτης*. Les étrangers domiciliés à Athènes étaient tenus de se choisir parmi les citoyens un protecteur ou patron, qu'on appelait leur *προστάτης*.

25. *Τα σά*, ta fortune.

26. Trad ici *γαρ* par C'est que.

27. *Ἐπιστάμενον* regit d'abord *εν . . . . ἔργον*, puis encore *περιουσίαν ποιεῖν*.

28. *Περιποιεῖν*, mettre de côté, faire des économies, comme *περιουσίαν ποιεῖν*.

29. Voy. ci-dessus, chap 1er, pages 246 et suiv. A entendre Socrate, c'est Critoboulos qui aurait affirmé de lui-même toutes ces propositions, sans permettre même à Socrate de dire mot Au vrai, Socrate lui avait fait dire ce qu'il voulait qu'il dit. C'est là essentiellement le procédé socratique

30 *Οἶσθα μέντοι λέγων*, ne te souviens tu pas de ce que tu disais? *Λέγων* a ici le sens de l'imparfait: c'est comme s'il y avait *ὅτι ἔλεγες*

31 *Μὲν οὖν, quidem certe.*

32 *Τὴν ἀρχὴν οὐδέν*, absolument rien.

Κ. Ἀλλ' ἐδόκει ἡμῖν καὶ εἰ μὴ χρήματά τις τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας (33). Τί οὖν κωλύει καὶ σὲ ἐπίστασθαι;

Σ. Ὅπερ (34), νὴ Δία, καὶ αὐλεῖν ἂν κωλύσειν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς πώποτε κτήσαιτο αὐλοὺς, μήτε ἄλλος αὐτῷ παράσχοι ἐν τοῖς αὑτοῦ μανθάνειν· οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας. Οὔτε γὰρ αὐτὸς ὄργανα χρήματα ἐκεκτήμην ὥστε μανθάνειν (35), οὔτε ἄλλος πώποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν ἀλλ' ἢ σὺ νυνὶ ἐθέλεις παρέχειν. Οἱ δὲ δήπου τὸ πρῶτον μανθάνοντες κιθαρίζειν καὶ τὰς λύρας (36) λυμαίνονται· καὶ ἐγὼ δὴ εἰ ἐπιχειρήσαιμι ἐν τῷ σῷ οἴκῳ μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἄν σου τὸν οἶκον.

Πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε·

Κ. Προθύμως γε, ὦ Σώκρατες, ἀποφεύγειν μοι (37) πειρᾷ μηδέν με συνωφελῆσαι εἰς τὸ ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα πράγματα.

Σ. Οἰ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε (38), ἀλλ' ὅσα ἔχω καὶ πάνυ προθύμως ἐξηγήσομαί σοι. Οἶμαι δ' ἄν (39) καὶ εἰ, ἐπὶ πῦρ ἐλθόντος σου καὶ μὴ ὄντος (40) παρ' ἐμοὶ, ἄλλοσε ἠγησάμην ὁπόθεν σοι εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου μοι· καὶ εἰ, ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων (41), ἄλλοσε καὶ ἐπὶ τοῦτο (42) ἤγαγον, οἶδ' ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμφου· καὶ εἰ, βουλομένου μου σιχὴν μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους

---

33. Voyez le début même de l'*Économique*.

34. Ὅπερ. Voy. p. 245, note 8.

35. Ὄργανα ὥστε μανθάνειν, l'instrument *nécessaire* pour apprendre, c'est-à-dire de la fortune (χρήματα).

36. Κιθαρίζειν . . . . λύρας. La lyre et la cithare étaient deux instruments de la même famille, ne différant guère que par le nombre des cordes et la grandeur. Κιθαρίζειν est le terme ordinaire pour dire « jouer de la lyre, de la cithare ou tout autre instrument à cordes de la même famille. » Λύρα, d'autre part, est le mot générique pour désigner la lyre et ses congénères. D'où les expressions comme λύρᾳ κιθαρίζειν. « Ceux qui commencent à apprendre à *jouer des instruments à cordes*, κιθαρίζειν, les abîment (abîment leurs *lyres*, λύρας). »

37. Μοι explétif. — Ἀποφεύγειν (sous-ent. ὥστε) μηδέν με συνωφελῆσαι.

38. Οὐκ ἔγωγε: sous-ent. ἀποφεύγειν πειρῶμαι.

39. Ἄν, placé en tête de la phrase par anticipation, tombe sur les deux ἐμέμφου et sur μέμφοιο, auprès de chacun desquels, du reste, il est ensuite répété. Cf. p. 254, l. 13; p. 259, l. 12.

40. Ὄντος: sous-ent. πυρός.

41. Αἰτοῦντί σοι dépend de ἔχων, « n'en ayant pas *à donner* à toi qui m'en demanderais ».

42. Ἐπὶ τοῦτο, à l'eau, là où il y en a.

ἐμοῦ περὶ μουσικὴν καί σοι χάριν ἂν εἰδότας, εἰ ἐθέλοις παρ' αὐτῶν μανθάνειν, τί ἂν ἔτι μοι ταῦτα ποιοῦντι μέμφοιο:

Κ. Οὐδὲν ἂν δικαίως γε (43), ὦ Σώκρατες.

Σ. Ἐγὼ τοίνυν σοι δείξω, ὦ Κριτόβουλε, ὅσα νῦν λιπαρεῖ παρ' ἐμοῦ μανθάνειν, πολὺ (44) ἄλλους ἐμοῦ δεινοτέρους περὶ ταῦτα. Ὁμολογῶ δὲ μεμελῃκέναι μοι οἵτινες ἕκαστα ἐπιστημονέστατοί εἰσι τῶν ἐν τῇ πόλει. Καταμαθὼν γάρ ποτε ἀπὸ τῶν αὐτῶν ἔργων τοὺς μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα, καὶ ἐδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὁ τι εἴη τοῦτο. Καὶ ηὗρον ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα. Τοὺς μὲν γὰρ εἰκῇ ταῦτα (45) πράττοντας ζημιουμένους ἑώρων, τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμελουμένους καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατεγνῶν πράττοντας· παρ' ὧν ἂν (46) καὶ σοῦ οἶμαι, εἰ βούλοιο, μαθόντα, εἴ σοι ὁ θεὸς μὴ ἐναντιοῖτο, τάν ἂν δεινὸν χρηματιστὴν γενέσθαι.

CHAPITRE III.

Ἀκούσας ταῦτα ὁ Κριτόβουλος εἶπε·

Κ. Νῦν τοι, ἔφη, ἐγώ σε οὐκέτι ἀφήσω, ὦ Σώκρατες, πρὶν ἂν μοι ἃ ὑπέσχησαι ἐναντίον τῶν φίλων τουτωνὶ (1) ἀποδείξῃς.

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἤν σοι ἐπιδεικνύω πρῶτον μὲν οἰκίας τοὺς μὲν (2) ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχούσας ὅσα δεῖ, ἢ δόξω ἕν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι (3);

Κ. Καὶ πάνυ γ', ἔφη ὁ Κριτόβουλος.

Σ. Τί δ' ἦν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι ἐπιδεικνύω τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους ἔπιπλα, καὶ τοι

---

43. *Οὐδὲν . . . δικαίως γε*, sous-ent. *σοὶ μεμφοίμην*.
44. *Πολύ* tombe sur *δεινοτέρους*.
45. *Ταῦτα*. Entendez *ταῦτα τὰ ἔργα*.
46. Cf. page 253, note 39.

Ch. III] 1. *Τῶν φίλων τουτωνί*. Socrate ne converse pas en tête à tête av Critobouios (cf. page 257, ligne 13). Il est entouré, comme il arrivait d'o dinaire, d'un cortège de disciples, qui jouent, dans les dialogues socrat ques le rôle de personnages muets. Xénophon est censé assister à la co versation, puisque l'*Économique* débute ainsi : *Ἤκουσα δέ ποτε αὐτοῦ κτ*

2. *Τοὺς μὲν . . . .* Construisez. *τοὺς μὲν οἰκοδομοῦντας, ἀπὸ πολλοῦ ἀ γυρίου οἰκίας ἀχρήστους, τοὺς δὲ κτλ.*

3. *Ἕν τι . . . ἐπιδεικνύναι*, te montrer quelqu'une des choses (*ἐν* dont se compose la science économique (*τῶν οἰκονομικῶν*), *en te montra* cela (*τοῦτο*). Cf. p. 255, l. 11 et 17.

τοις, ὅταν δέωνται, μὴ ἔχοντας χρῆσθαι μηδὲ εἰδότας εἰ σᾶ (4) ἐστιν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς ἀνιωμένους, πολλὰ δὲ ἀνιῶντας τοὺς οἰκέτας· τοὺς δὲ οὐδὲν πλείω, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους, ἔχοντας εὐθὺς ἕτοιμα, ὧν ἂν δέωνται, χρῆσθαι (5).

Κ. Ἄλλο τι οὖν τούτων ἐστὶν, ὦ Σώκρατες, αἴτιον ἢ ὅτι τοῖς μὲν ὅποι ἔτυχεν ἕκαστον καταβέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένη κεῖται;

Σ. Ναὶ μὰ Δί', ἐφη ὁ Σωκράτης· καὶ οὐδ' ἐν χώρᾳ γ' ἐν ᾗ ἔτυχεν, ἀλλ' ἔνθα προσήκει, ἕκαστα διατέτακται.

Κ. Λέγειν τί μοι δοκεῖς, ἔφη, καὶ τοῦτο, ὁ Κριτόβουλος, τῶν οἰκονομικῶν (6).

Σ. Τί οὖν, ἦν σοι, ἔφη, καὶ οἰκέτας αὖ ἐπιδεικνύω, ἔνθα μὲν πάντας ὡς εἰπεῖν δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ λελυμένους, καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν, οὐ καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύναι;

Κ. Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ σφόδρα γε.

Σ. Ἦν δὲ καὶ παραπλησίους γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολωλέναι φάσκοντας ὑπὸ γεωργίας καὶ ἀποροῦντας, τοὺς δὲ ἀφθόνως καὶ καλῶς πάντα ἔχοντας ὅσων δέονται ἀπὸ τῆς γεωργίας (7);

Κ. Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος. Ἴσως γὰρ (8) ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτοῖς καὶ τῷ οἴκῳ.

Σ. Εἰσὶ μέν τινες ἴσως, ἔφη ὁ Σωκράτης, καὶ τοιοῦτοι. Ἀλλ' (9) ἐγὼ οὐ τοίτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες.

Κ. Καὶ τί ἂν εἴη τούτου αἴτιον, ὦ Σώκρατες;

---

4. Σᾶ paraît être la véritable forme employée par les Attiques comme neutre pluriel (nom. et acc.) de l'adjectif σῶς, *integer*. (Σῶς, σᾶ, contraction des formes inusitées σάος, σάα: le comparatif σαώτερος se trouve dans l'*Iliade*, chez Xénophon et chez Théocrite.) Les manuscrits donnent ici σῶα, forme de la langue grecque commune.

5. Χρῆσθαι dépend de ἕτοιμα: «prêts pour s'en servir.»

6. Λέγειν . . . . οἰκονομικῶν. Pour la construction, cf. p. 254, note 3.

7. Ἦν δὲ . . . . γεωργίας. «Et si *je te montre* des gens exploitant des cultures (γεωργοῦντας γεωργίας) pareilles, et, *parmi ceux-ci*, les uns . . ., les autres.» Cf., pour la tournure, p. 248, lignes 11-13.

8. Cf. la note 26 de la page 252.

9. Ἀλλά sert, au lieu de δέ, de corrélatif à μέν quand l'opposition doit être plus fortement marquée.

Σ Ἐγώ τε ἄξω καὶ ἐπὶ τούτους, ἔφη ὁ Σωκράτης· σὺ δὲ θεώμενος δήπου καταμαθήσει (10).

Κ. Νὴ Δί', ἔφη. ἢ δύναμαί γε.

Σ Οὐκοῦν χρὴ θεωμένην σαυτῇ ἀποπειρᾶσθαι εἰ γνώσει (10). Νῦν δ' ἐγώ σ' οἶδα ἐπὶ μὲν κωμῳδῶν θέαν καὶ πάνυ πρωὶ ἀνιστάμενον καὶ πάνυ ταχὺν ὁδὸν (11) βαδίζοντα καὶ ἐμὲ ἀναπείθοντα προθύμως συνθεᾶσθαι· ἐπὶ δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας.

Κ. Οὐκοῦν γελοῖός σοι φαίνομαι εἶναι, ὦ Σώκρατες.

Σ Σκεπτέον δὲ πολὺ νὴ Δί', ἔφη, γελοιότερος. Ἦν δὲ καὶ ἐφ' ἱππικῆς (12) σοι ἐπιδείκνυσθαι τοὺς μὲν εἰς ἀποφοίτησιν τῶν ἐπιτηδείων ἐλαύνοντας, τοὺς δὲ καὶ (13) πάνυ εὐπόρους ὄντας καὶ ἅμα ἀγαλλομένους ἐπὶ τῷ κέρδει;

Κ. Οὐκοῦν (14) τούτους μὲν καὶ ἐγὼ καὶ οἶδα ἑκατέρους, καὶ οὐδέν τι (15) μᾶλλον τῶν κερδαινόντων γίγνομαι.

Σ Θεᾷ γὰρ αὐτοὺς ἢ τὸ τοὺς τραγῳδοὺς τε καὶ κωμῳδοὺς οὐχ ὅτως ποιητὰς οἴεσθαι γενέσθαι, ἀλλ' ὅπως ἡσθῇς ἰδών τι ἢ ἀκούσας· καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει, οὐ γὰρ ποιητὴς δεῖ γενέσθαι ἱκανῶς ὁ ἀναγκαζόμενος χρῆσθαι (16), οὐ μέντοι οἵόν τε εἶναι, εἰ μὴ σκοτεῖς ὅτῳ μὴ ἰδιώτης ἔσει (17) τούτου τοῦ ἔργου. ἄλλως τε καὶ τῶν αὐτῶν ἵππων ἀγαθῶν τε εἰς τὴν χρῆσιν καὶ κερδαλέων εἰς πώλησιν ὄντων·

Κ. Μωλύεσθαί με κελεύεις, ὦ Σώκρατες;

Σ Οὐ μὰ Δί', οὐδέν τι μᾶλλον (18) ἢ καὶ γεωργοὺς ἐκ πεδίων ὠνεῖσθαι κατασκευάζειν. ἀλλ' εἶναί τινές μοι δοκοῦσιν ἡλικίαι

---

10. Ἀποπειρᾶσθαι, *prouve*. Cf. la note 21 du Chap. VIII.

11. *Dans tout ... une auberge (?)*. Critoboulos n'habitait pas dans Athènes même, au théâtre ; n'importe quel quartier de la ville, il n'y avait pas trois pas à faire. Il devait avoir son domicile dans la campagne d'Athènes, au milieu de ses domaines.

12. Ἦν ... ἱππικῆς, *ainsi placé en tête des deux membres de phrase, régit aussi* ... *il se règle également aux verbes de ces deux membres de phrase*. Après ἐπὶ δὲ, les manuscrits donnent: *διὰ τὴν ἱππικήν*, glose maladroite, explicative, nullement ajoutée par un lecteur

13. Καὶ ... καὶ, *ne marque pas le rapprochement à faire, et n'est pas corrélatif de καὶ qui précède*.

14. Οὐκοῦν, *N'est-il pas vrai que ?* La phrase redevient affirmative à partir de καὶ ἐγὼ.

15. Τι, *pas du tout, pas du tout, ne ... pas du tout*.

16. Cf. la note 14 de la page 261.

17. Cf. la note 17 de la page 261, note 17.

18. Οὐ μὰ Δί', οὐδέν τι μᾶλλον, *cf. pour cette expression* ... *ἀλλ' οὐδὲν μᾶλλον ἢ τοιοῦτον ἢ τοιοῦτον*

καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμοί εἰσι καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. — Ἔχω δ' ἐπιδεῖξαι καὶ γυναιξὶ ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους ὥστε συνεργοὺς ἔχειν αὐτὰς εἰς τὸ συναύξειν τοὺς οἴκους, τοὺς δὲ ἧ πλεῖστα λυμαίνονται (19).

Κ. Καὶ τούτου πότερον χρὴ, ὦ Σώκρατες, τὸν ἄνδρα αἰτιᾶσθαι ἢ τὴν γυναῖκα;

Σ. Πρόβατον μὲν, ἔφη ὁ Σωκράτης, ὡς ἐπί τὸ πολὺ, ἢν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα (20), *καὶ ἵππος, ὡς ἐπὶ τὸ πολὺ, ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν· τῆς δὲ γυναικὸς* (21), *εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι· εἰ δὲ μὴ διδάσκων τὰ καλὰ κἀγαθὰ ἀνεπιστήμονι* (22) *τούτων χρῷτο, ἆρ' οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι; Πάντως δεῖ, ἔφη, ὦ Κριτόβουλε, — φίλοι γάρ ἐσμεν οἱ παρόντες* (23), *ἀπαληθεῦσαι πρὸς ἡμᾶς. Ἔστιν ὅτῳ ἄλλῳ* (24) *τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί;*

Κ. Οὐδενὶ, ἔφη.

Σ. Ἔστι δὲ ὅτῳ ἐλάττονα διαλέγει (25) *ἢ τῇ γυναικί;*

Κ. Εἰ δὲ μὴ (26), *οὐ πολλοῖς γε, ἔφη.*

Σ. Ἔγημας δὲ αὐτὴν παῖδα νέαν μάλιστα καὶ ὡς ἠδύνατο ἐλάχιστα (27) *ἑωρακυῖαν καὶ ἀκηκουῖαν;*

Κ. Μάλιστα.

Σ. Οὐκοῦν πολὺ θαυμαστότερον εἴ τι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο ἢ εἰ (28) *ἐξαμαρτάνοι.*

Κ. Οἷς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, ἦ αὐτοὶ ταύτας ἐπαίδευσαν;

Σ. Οὐδὲν οἷον τὸ (29) *ἐπισκοπεῖσθαι. Συστήσω δέ σοι ἐγὼ*

---

19. *Λυμαίνονται.* Le sujet de *λυμαίνονται* est *αἱ γυναῖκες* sous-entendu.

20. *Πρόβατον . . . .* Construisez: *Ἢν πρόβατον κακῶς ἔχῃ, αἰτιώμεθα ὡς ἐπὶ τὸ πολὺ τὸν νομέα.*

21. *Τῆς δὲ γυναικός.* Pour ce qui est de la femme.

22. *Διδάσκων . . . . ἀνεπιστήμονι*: s.-ent. *αὐτὴν* auprès de *διδάσκων*, et *αὐτῇ οὔσῃ* après *ἀνεπιστήμονι.*

23. Cf. la note Ch. III, 1, à la page 254.

24. *Ἔστιν ὅτῳ ἄλλῳ* équivaut à *ἔστιν ἄλλος τις ᾧ.*

25. *Ἐλάττονα*, forme attique pour *ἐλάσσονα.* — *Διαλέγει.* Cf. la note 5 de la page 28.

26. *Εἰ δὲ μὴ*, s'il n'*est* pas *vrai de dire qu'il n'y a personne à qui je parle moins qu'à ma femme*, — *οὐ πολλοῖς γε*, du moins est-ce à peu de monde (que je parle moins qu'à elle).

27. *Ὡς ἠδύνατο ἐλάχιστα*, le moins possible.

28. *Ἢ εἰ*, que si.

29. *Οὐδὲν οἷον τό*, il n'y a rien de tel que de. Locution qu'affectionnait sans doute Socrate, car elle est fréquemment mise dans sa bouche aussi bien par Platon que par Xénophon.

[illegible]

CHAPITRE VI.

5 Ἀλλὰ ποῖος μέν τις δεῖ ἐπιμελητὴν εἶναι, ὦ Σώκρατες; ἔφη ὁ Κριτόβουλος· ἆρά γε τοσοῦτόν τι τῶν τεχνῶν ἐργάσασθαι μόνον δεῖ, ὅτε ἐπιμελητὴν αἱρεῖται; οἷόν τε, ἢ καὶ ὅτῳ βέλτιστα τῶν ἐπιτηδείων καὶ ἥδιστα πρέπει ὑπ' ἐμοῦ ἐπιμελεῖσθαι; τοῦτο μὲν καὶ οὕτως ἐπιδεῖσθαι καὶ τὸ πρᾶττοντας εἶναι· καὶ οὕτω δὲ ἴσως τι καὶ ὄνασθαι συνοφέλει (3) ἂν τοῦτο διάφορον.

Σ. Ἀλλὰ τοιοῦτος ἔστω, ἔφη, ὦ Κριτόβουλε. Καὶ γὰρ αἱ χρεῖαι πολὺ μέγιστοι (4) καὶ ἐπιφανεῖς εἰσι, καὶ ἑαυτοὺς μέντοι σώζουσι ἀδοξήτους πρὸς τῶν πολλῶν. Κατεσκεύασται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων καὶ τῶν ἐπιμελουμένων, ἀναγκάζοντα κινδυνεύεσθαι καὶ διατρέφεσθαι· ἔστι δὲ καὶ πρὸς πῦρ ἐμβαλεῖν τῶν δὲ σωμάτων δεῖται καὶ οἱ ψυχροὶ πολὺ ἀρρωστότερα γίγνονται· καὶ ἀσχολίας δὲ μέγιστοι ἔχουσι (5) καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι· ὥστε οἱ τοιοῦτοι (6) δοκοῦσι κακοὶ καὶ φίλοις χρῆσθαι (7) καὶ τοῖς πατρίοις ἀλεξητῆρες εἶναι. Καὶ

---

30. *Τούτων . . . . μειοῦνται*: c'est-à-dire *κακῶς δὲ τούτων γιγνομένων* (ou *πραττομένων*) *οἱ οἶκοι μειοῦνται*.

31. *Σοι*, exprimé une première fois en tête de la phrase, se trouve répété à la fin.

Ch. VI] 1. *Αὐτὸν*, soi-même.

2. *Ἐπιμελομένῳ*, sous-ent. *αὐτῶν*. C'est comme s'il y avait *αἱ δοκοῦσι . . . . καὶ ὧν ἐμοὶ πρέπει ἂν . . . ἐπιμελομένῳ*, mais cette dernière tournure n'est pas usitée en grec.

3. *Συνωφέλει*, sous-entendu *με*.

4. Sous-ent. *τέχναι*.

5. Le sujet de *ἔχουσι*, c'est *αἱ βαναυσικαὶ καλούμενοι τέχναι*, sous-entendu.

6. *Οἱ τοιοῦτοι*, ce sont ceux qui exercent les arts mécaniques.

7. *Κακοὶ χρῆσθαι*, mauvais à s'en servir (cf. la note 5 de la page 255).

ἐν ἐνίαις μὲν τῶν πόλεων (8), μάλιστα δὲ ἐν ταῖς εὐπολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

Κ. Ἡμῖν δὲ δὴ ποίαις συμβουλεύεις, ὦ Σώκρατες, χρῆσθαι;

Σ. Ἆρα, ἔφη ὁ Σωκράτης, μὴ αἰσχυνθῶμεν τὸν Περσῶν βασιλέα μιμήσασθαι; Ἐκεῖνον γάρ φασιν, ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην, τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι.

Καὶ ὁ Κριτόβουλος ἀκούσας ταῦτα εἶπε.

Κ. Καὶ τοῦτο, ἔφη, πιστεύεις, ὦ Σώκρατες, βασιλέα τὸν Περσῶν γεωργίας τι συνεπιμελεῖσθαι;

Σ. Ὧδ' ἄν, ἔφη ὁ Σωκράτης, ἐπισκοποῦντες, ὦ Κριτόβουλε, ἴσως ἂν καταμάθοιμεν εἴ τι συνεπιμελεῖται. Τῶν μὲν γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι, ὅτι ἐξ ὁπόσωνπερ ἐθνῶν δασμοὺς λαμβάνει τέταχε τῷ ἄρχοντι (9) ἑκάστῳ εἰς ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας καὶ τοξότας καὶ σφενδονήτας καὶ γερροφόρους (10), οἵ τινες τῶν τε ὑπ' αὐτοῦ ἀρχομένων ἱκανοὶ ἔσονται κρατεῖν καὶ, ἢν πολέμιοι ἐπίωσιν, ἀρήξουσι τῇ χώρᾳ, χωρὶς δὲ τούτων φυλακὰς (11) ἐν ταῖς ἀκροπόλεσι τρέφει· καὶ τὴν μὲν τροφὴν τοῖς φρουροῖς (11) δίδωσιν ὁ ἄρχων ᾧ τοῦτο προστέτακται· βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθοφόρων καὶ τῶν ἄλλων οἷς ὡπλίσθαι προστέτακται, καὶ πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ σύλλογος καλεῖται, τοὺς μὲν ἀμφὶ τὴν ἑαυτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας πιστοὺς πέμπει ἐπισκοπεῖν (12)· καὶ οἳ μὲν ἂν φαίνωνται τῶν φρουράρχων καὶ τῶν χιλιάρχων (13) καὶ τῶν σατραπῶν (14) τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες,

---

d'un mauvais commerce. — En somme, *Κακοὶ . . . . ἀλεξητῆρες*: « Pour leurs amis, mauvais amis; pour leur patrie, mauvais soutiens. »

8. Par exemple, à Sparte.

9. *Ἄρχοντι*, le gouverneur civil de la province.

10. *Γέρρον*, sorte de bouclier d'osier que portaient spécialement certains corps de l'armée perse.

11. *Φυλακή*, garnison d'une place; *φρουροί*, soldats composant cette garnison; *φρούραρχος*, leur commandant et le chef d'une circonscription militaire.

12. *Πέμπει ἐπισκοπεῖν*, il envoie inspecter. Construction rare, mais dont il existe quelques exemples chez Xénophon. Quelques lignes plus bas (p. 260, l. 8), la même idée est exprimée par la tournure *πέμπων ἐπισκοπεῖται*, qui est conforme à l'usage courant.

13. *Χιλίαρχος*, commandant de mille hommes, *colonel*.

14. *Σατράπης*. Satrape, sorte de vice-roi, exerçant le pouvoir pour le compte du roi, sur une grande division territoriale, ayant sous ses ordres

καὶ τούτους(15) δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι. τούτους μὲν καὶ ταῖς τιμαῖς αὔξει(16) καὶ δώροις μεγάλοις καταπλουτίζει, οὓς δ' ἂν εὕρῃ ἢ καταμελοῦντας ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει καὶ παύων τῆς ἀρχῆς ἄλλους ἐπιμελητὰς καθίστησι. Τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι. Ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας(17) διελαύνων ἐφορᾷ αὐτὸς, αὐτὸς καὶ δοκιμάζει, ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται· καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην τε τὴν χώραν παρεχομένους καὶ ἐνεργὸν οὖσαν τὴν γῆν καὶ πλήρη δένδρων τε ὧν ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην προστίθησι καὶ δώροις κοσμεῖ(18) καὶ ἕδραις ἐντίμοις(19) γεραίρει, οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέλειαν, τούτους δὲ(20) κολάζων καὶ παύων τῆς ἀρχῆς ἄρχοντας ἄλλους καθίστησι. Ταῦτα ποιῶν δοκεῖ ἧττον ἐπιμελεῖσθαι ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοικούντων ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων; Καὶ εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον οὐχ οἱ αὐτοί, ἀλλ' οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν, οἱ δ' ἄρχουσι τῶν ὡπλισμένων τε καὶ τῶν φρουρῶν(21). Κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελούμενος κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν ἀφυλαξίαν, ἢν δὲ, παρέχοντος τοῦ φρουράρχου εἰρήνην τοῖς ἔργοις, ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος· καὶ γὰρ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι οὔτε τοὺς φρουροὺς τρέφουσιν οὔτε τοὺς δα-

---

les gouverneurs militaires (φρουράρχους), aussi bien que les gouverneurs civils (ἄρχοντας).

15. Ἄριθμον, le nombre d'hommes; τούτους, ces hommes.

16. Τούτους . . . . αὔξει. « Il les avance en honneurs. » Αἱ τιμαί, avec l'article, parce qu'il y avait une hiérarchie des honneurs.

17. Ὁπόσην τῆς χώρας équivaut à ὁπόσην χώραν.

18. Κοσμεῖ, sous-ent. αὐτούς.

19. Ἕδραις ἐντίμοις, places d'honneur (par exemple, dans les banquets royaux).

20. Οὓς μὲν . . ., τούτοις μὲν . . ., οἷς δὲ . . ., τούτους δὲ . . . Remarquez la structure de cette longue phrase (cf. p. 280, note 12).

21. Τῶν ὡπλισμένων . . . . φρουρῶν. Οἱ ὡπλισμένοι équivaut à οἱ μισθοφόροι καὶ οἱ ἄλλοι οἷς ὡπλίσθαι προστέτακται (cf. page 259, ligne 22); οἱ φρουροί, les garnisons sédentaires, qui ne prennent pas part aux revues, les mêmes que οἱ ἐν ταῖς ἀκροπόλεσι (ibid., ligne 23).

σμοὺς δύνανται ἀποδιδόναι. Ὅπου δ' ἂν σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.

Ἐκ τούτων (22) ὁ Κριτόβουλος εἶπεν·

Κ. Οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ βασιλεύς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωργικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν.

Σ. Ἔτι δὲ πρὸς τούτοις, ἔφη ὁ Σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖταί τε τούτων ὅπως κῆποι ἔσονται, οἱ παράδεισοι (23) καλούμενοι, πάντων καλῶν τε κἀγαθῶν μεστοὶ ὅσα ἡ γῆ φύειν θέλει, καὶ ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ.

Κ. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε διατρίβει αὐτὸς, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι ἔσονται οἱ παράδεισοι ἐπιμελεῖσθαι (24) δένδρεσι καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς ὅσα ἡ γῆ φύει.

Σ. Φασὶ δέ τινες, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ βασιλεὺς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς ἐν πολέμῳ ἀγαθοὺς γεγονότας, ὅτι οὐδὲν ὄφελος (25) πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες (26)· δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς χώρας (27) ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, λέγοντα ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι. Λέγεται δὲ καὶ Κῦρός (28) ποτε, ὅσπερ εὐδοκιμώτατος δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι· κατασκευάζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις.

Κ. Κῦρος μὲν τοίνυν, ἔφη ὁ Κριτόβουλος, ὦ Σώκρατες, καὶ ἐπηγάλλετο οὐδὲν ἧττον, εἰ ταῦτα ἔλεγεν, ἐπὶ τῷ χώρας ἐνεργοὺς ποιεῖν καὶ κατασκευάζειν ἢ ἐπὶ τῷ πολεμικὸς εἶναι.

Σ. Καὶ, ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρός γε, εἰ ἐβίω (29),

---

22. Cf. la note Ch. II, 1, à la page 249.

23. *Παράδεισοι*. C'est, avec une terminaison grecque, le mot perse qui servait à désigner ces jardins.

24. *Ἀνάγκη . . . . ἐπιμελεῖσθαι*. « Il est nécessaire qu'*on* s'occupe, que *les personnes que cela regarde* s'occupent . . . » Le sujet de l'infinitif *ἐπιμελεῖσθαι* n'est pas exprimé. Cf. p. 263, l. 17. — *Δένδρεσι* dépend de *κατεσκευασμένοι*.

25. *Ὄφελος*, sous-ent. *ἂν εἴη*.

26. *Οἱ ἀρήξοντες*, ceux qui défendront, c.-à-d. des gens pour les défendre.

27. *Κατασκευάζειν χώραν*, cultiver une terre, la faire valoir.

28. *Κῦρος*. Il s'agit ici de Cyrus l'*Ancien*, le fondateur de la monarchie perse.

29. *Ἐβίω*. L'aoriste *ἐβίων* est le seule forme attique: *ἐβίωσα* appartient

ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι, καὶ τούτου τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπολεμεῖτο μαχούμενος· παρὰ μὲν γὰρ Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς βασιλέα, παρὰ δὲ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν[30] ἑκόντες πείθωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ἐκείνῳ δὲ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι.[31] Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ[32], ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, καὶ αὐτὸς ἔφη, ὁ Λύσανδρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διχοίμην καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν[33] ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν[34] ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσου[35] δὲ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων εἶπεν· «Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων.» Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν· «Ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ μετρῶ καὶ διεμέτρησα καὶ διέταξα, ἔστι δ' αὐτῶν» φάναι «ἃ[36] καὶ ἐφύτευσα αὐτός.» Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε καὶ τῆς ὀσμῆς αἰσθόμενος καὶ τῶν στρεπτῶν καὶ τῶν ψελίων καὶ τοῦ ἄλλου κόσμου οἷ εἶχεν, εἰπεῖν· «Τί λέγεις,» φάναι «ὦ Κῦρε; Ἦ γὰρ σοὶ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;» Καὶ τὸν Κῦρον ἀποκρα-

à la langue commune. — Il s'est probablement perdu ici quelque mot de texte (Κῦρος ὁ νεώτερος, ou ὁ Δαρείου), qui exprimait que c'est de Cyrus le Jeune (tué à la bataille de Cunaxa, en 401) qu'il est maintenant question.

30. Ἧ ἄν équivaut à ἐὰν τιν.

31. Un lecteur ancien ajouta ici à la marge de son livre la rectification suivante, puisée dans l'*Anabase* de Xénophon. πλὴν Ἀριαίου· Ἀριαῖος δ' ἦρχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος. Cette annotation passa dans le texte des autres manuscrits de Xénophon et de là dans ceux de la plupart des éditions de l'*Économique*.

32. Λυσάνδρῳ. Cette ambassade de Lysandre auprès de Cyrus remonte à l'an 407 avant Jésus-Christ.

33. Ἐπιδεικνύναι, sous-ent. αὐτῷ, à lui Lysandre. — Αὐτὸν, Cyrus lui-même.

34. Αὐτόν c'est-à-dire τὸν παράδεισον. Plus loin, sous-ent. αὐτοῦ après τὰ δένδρα.

35. Δι' ἴσου, à intervalles égaux.

36. Ἃ pour ἅτινα ἃ équivaut à ἅτινα δ' αὐτῶν.

νασθαι· « Θαυμάζεις τοῦτο, ὦ Λύσανδρε; Ὄμνυμί σοι τὸν Μίθρην, ὅταπερ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν ἢ ἀεὶ ἔν γέ τι φιλοτιμούμενος.» Καὶ αὐτὸς μέντοι ἔφη ὁ Λύσανδρος ἀκούσας ταῦτα δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν· « Δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς(87).»

CHAPITRE V.

Σ. Ταῦτα δέ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. Ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει· ἔπειτα δὲ ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστε ἔχειν(1) καὶ θεοὺς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. Παρέχουσα δ' ἀφθονώτατα τἀγαθὰ, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. Καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρωί τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα· καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. Ἔπειτα ἤν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει(2) βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν, ἤν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ, καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα καὶ θηρία συμπαρατρέφουσα(3). Ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρωί τε κο-

---

36. *Δικαίως . . . . εὐδαιμονεῖς.* Cicéron, qui a inséré dans son dialogue *sur la Vieillesse* cette anecdote sur Cyrus, traduit ainsi cette dernière phrase: «Recte vero te, Cyre, beatum ferunt, quoniam virtuti tuæ fortuna conjuncta est.»

Ch. V] 1. Le sujet de l'infinitif *ἔχειν*, c'est *γεωργούς*, sous-ent., mot auquel se rapportent *θύοντας* et *αὐτούς*.

2. *Σὺν ἵππῳ . . . . τῇ πόλει*: c'est-à-dire servir l'État dans la cavalerie.

3. *Συμπαραιτρέφουσα. Σύν*, et *παραιτρέφειν*, nourrir des parasites.

μίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι, αἱ δὲ κύνες τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ (4) ἡ γῆ τοὺς γεωργοὺς, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν (5). Καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; Τίς (6) δὲ τοῖς ἐργαζομένοις πλείω ἀντιχαρίζεται; Τίς δὲ ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ τι χρῄζει; Τίς δὲ ξένους ἀφθονώτερον δέχεται; Χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐμάρεια ἢ ἐν χώρῳ; Ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἄγρον; Τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; Τίς δὲ οἰκέταις προσφιλεστέρα ἢ γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριτωτέρα; Ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης ηὕρηκεν ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. Ἔτι δὲ ἡ γῆ, θεὸς οὖσα, τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας (7) αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. Ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων (8) λαμβάνειν ἀφ' ὧν θρέψονται (9). Πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλεστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. Συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἄλλων ἡ γεωργία· ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία.

---

4. *Καὶ . . . καὶ.* La répétition de *καὶ* provient de la construction insolite de la phrase; l'ordre naturel des mots était: *παρορμᾷ δέ τι καὶ ἡ γῆ τοὺς γεωργοὺς εἰς τὸ ἀρήγειν κτλ.*

5. *Ἐν τῷ . . . . λαμβάνειν.* Constr.: *τρέφουσα τ. καρπ. ἐν τῷ μέσῳ λαμβ. τῷ κρατοῦντι*, c.-à-d. poussant ses fruits en pleine campagne, à prendre, pour celui qui s'en rend le maître. L'idée exprimée par les mots *ἐν τῷ μέσῳ* est rendue de nouveau plus bas par *ἔξω τῶν ἐρυμάτων* (p. 267, l. 7), «en dehors des fortifications des villes.»

6. *Τίς*, sous-ent. *τέχνη*.

7. *Θεραπεύειν*, venant après *ἡ γῆ θεὸς οὖσα*, fait un jeu de mots: c'est à la fois le terme propre pour dire *honorer les dieux* et *cultiver la terre*.

8. *Εἰς τὰς τῶν ἀποκωλυόντων*, sous-ent. *χώρας*.

9. *Ἀφ' ὧν θρέψονται*, de quoi se nourrir; mot à mot, de quoi ils se nourriront. Cf. la note 26 de la page 261.

Τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι θέλοντας· τὸν δὲ ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθοὺς (10) καὶ κολάζοντα τοὺς ἀτακτοῦντας· καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. Καλῶς δὲ κἀκεῖνος εἶπεν ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος εἶπεν·

Κ. Ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν· ὅτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι . . . . . (11). Καὶ γὰρ χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσῖβαι (12) καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται· καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τεθραμμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν.

Ἀκούσας δὲ ταῦτα ὁ Σωκράτης εἶπεν·

Σ. Ἀλλ' ὤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων ἢ τῶν ἐν τῷ πολέμῳ. Καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς, οἶμαι, πρὸ τῶν πολεμικῶν πράξεων ἐξαρεσκομένους τοὺς θεοὺς καὶ ἐπερωτῶντας θυσίαις καὶ οἰωνοῖς ὅ τι τε χρὴ ποιεῖν καὶ ὅ τι μή· περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς θεοὺς ἱλάσκεσθαι; Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν (13) καὶ βοῶν καὶ ἵππων καὶ προβάτων καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν.

---

10. Δωρούμενόν τε . . . ἀγαθούς. « Faisant des présents à ceux qui font ce qu'il faut que les gens de bien facent. » (La Boëtie.)

11. Il manque ici dans les manuscrits quelque chose comme ταύτου οὐ μέμνησαι, ou τούτου θαυμάζω σε ἀμνημονῆσαι.

12. Ἐρυσίβη, maladie des graminées connue sous les divers noms de *nielle*, *charbon*, *rouille*; elle attaque les grains des graminées sans leur causer de ravages extérieurs, mais en détruisant la farine, qu'elle remplace par une sorte de poussière noire, grasse au toucher et fétide: cette maladie est due à un cryptogame parasite et microscopique.

13. Καρποὶ ὑγροί, *frumenta* les céréales (blé, orge, etc.); καρποὶ ξηροί, *legumina*, les légumineuses (fèves, pois, etc.).

CHAPITRE VI.

Κ. Ἀλλὰ ταῦτα μέν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς λέγειν, κελεύων πειρᾶσθαι σὲν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου, ὡς τῶν θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν πολεμικῶν ἔργων. Ταῦτα μὲν οὖ πειρασόμεθα οὕτω ποιεῖν· σὺ δ' ἡμῖν, ἔνθεν(1) *λέγων περὶ τῆς οἰκονομίας ἀπέλιπες, πειρῶ τὰ τούτων ἐχόμενα*(2) *διεξεραίνειν, ὡς καὶ νῦν μοι δοκῶ, ἀκηκοὼς ὅσα εἶπες, μᾶλλόν τι ἤδη διορᾶν ἢ πρόσθεν ὅ τι χρὴ ποιοῦντα βιοτεύειν.*

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ἆρα, εἰ πρῶτον μὲν ἐπανέλθοιμεν ὅσα συνομολογοῦντες διελήλυθμεν, ἦν πως διανώμεθα(3) *οὕτω*(4) *καὶ τὰ λοιπὰ διεξιέναι.*

Κ. Ἠδὺ γοῦν ἐστιν, ἔφη ὁ Κριτόβουλος, ὥσπερ καὶ χρημάτων κοινωνήσαντας ἀναμφιλόγως διελθεῖν(5), *οὕτω καὶ λόγων κοινωνοῦντας περὶ ὧν ἂν διαλεγώμεθα συνομολογοῦντας διεξιέναι.*

Σ. Οἰκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία, ἡ δὲ ἐπιστήμη αὕτη ἐφαίνετο ἡ οἴκοις δύνασθαι αἴξειν ἀνθρώποις(6). *οἶκος δ' ἡμῖν ἐφαίνετο ὅτιπερ κτῆσις ἡ σύμπασα, κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ τι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν βίον, ὠφέλιμα δὲ ὄντα ἡρίσκετο πάντα ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι*(7). *Πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναποδοκιμάζομέν*(8) *τε*(9) *ταῖς πόλεσι τὰς βαναύσους καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι καὶ τὰς ψυχὰς καταγγύναι*(10).

Ch. VI.] 1. *Ἔνθεν*, «à partir de là où,» comme *ἐντεῦθεν ἔνθα*.

2. *Τὰ τούτων ἐχόμενα*, ce qui tient avec, c.-à-d. la suite.

3. *Ἦν πως διανώμεθα*, pour essayer de (comme s'il y avait: *ἵνα πειραθῶμεν*).

4. *Οὕτω*, c.-à-d. *συνομολογοῦντες*.

5. *Διελθεῖν*, de parcourir *leurs comptes*, de faire leurs comptes.

6. *Ἀνθρώποις*, crase pour *οἱ ἄνθρωποι*.

7. Socrate vient de resumer, dans les cinq lignes precedentes, la partie de la conversation, échangée entre Critoboulos et lui, qui remplit environ les deux premiers tiers du premier chapitre. La phrase qui vient maintenant résume le debut du chapitre IV.

8. *Σύν*, et *ἀποδοκιμάζειν* signifiant rejeter, renvoyer à la suite d'un examen. Au contraire, *δοκιμάζειν* (voy. page 267, ligne première), approuver, accepter après examen.

9. Ce *τε* et *-τε* dans *οὔτε μαθεῖν* se correspondent, comme on trouve en latin *neque . . . et*.

10. On lit ici dans les manuscrits et editions de l'*Économique*: *Τεχ-*

Σ. Ἐδοκιμάσαμεν δὲ ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρατίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι(11) πορίζονται. Αὕτη γὰρ ἡ ἐργασία ἐδόκει εἶναι ἡδίστη ἐργάζεσθαι(12), καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεως συνεπιμελεῖσθαι. Συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα(13) τοῖς ἐργαζομένοις. Διὰ ταῦτα δὲ καὶ εὐδοξοτάτη εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους καὶ εὐνοϊκωτάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ (14).

Καὶ ὁ Κριτόβουλος.

Κ. Ὅτι(15) μέν, ὦ Σώκρατες, κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς· ὅτι δὲ ἔφησθα καταμαθεῖν(16) τὰ αἴτια τῶν τε οὕτω γεωργούντων ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτ' ἄν μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ μὴ ποιῶμεν.

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἦν σοι ἐξ ἀρχῆς διηγήσωμαι ὡς συνεγενόμην ποτὲ ἀνδρὶ, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι πάντων τῶν ἀνδρῶν ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ;

Κ. Πάνυ ἄν, ἔφη ὁ Κριτόβουλος, βουλοίμην ἂν τοῦτό σου ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι.

μήκιστον δὲ σαφέστατον γενέσθαι ἂν τούτου ἔφαμεν εἰ, πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ἀφεμένους τῆς γῆς τὰ τείχη διαφυλάττειν; Οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας μὴ μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας μήτε κινδυνεύοντας. Mais Xénophon n'a pas le moins du monde parlé de cela dans ce qui précède, et il n'en souffle même pas mot dans la suite : on doit considérer ce passage comme une intrusion dans son texte.

11. Voy. la note 6 de la page précédente.

12. Αὕτη . . . ἐργάζεσθαι. Les manuscrits et éditions de Xénophon donnent cette phrase comme suit : Αὕτη γὰρ ἡ ἐργασία μαθεῖν τε ῥᾴστη ἔδόκει εἶναι καὶ ἡδίστη ἐργάζεσθαι. Dans la suite on verra, en effet, que l'agriculture est une science *facile à apprendre*; mais, jusqu'à présent, il n'a pas été le moins du monde question de cela dans le dialogue.

13. Φύουσα : il s'agit des plantes; τρέφουσα, des troupeaux.

14. Ce dernier alinéa résume l'éloge de l'agriculture que renferme le chapitre v.

15. Ὅτι tombe sur les superlatifs : « la plus belle possible », etc.

16. Voy. le dialogue, p. 255, à partir de la ligne 19.

Σ. Λέξω τοίνυν σοι, ἔφη ἡ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῖ. Τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθοὺς, ζωγράφους ἀγαθοὺς, ἀνδριαντοποιοὺς, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανὸς περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι[17]*. Ὅτως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῦντο καλεῖσθαι, πάνυ μοι ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. Καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὄντινα ἴδοιμι καλὸν, τοῦτο προσέχειν καὶ ἐπειρώμην καταμανθάνειν εἴ μοι ἴδοιμι προσιρτημένον τῷ καλῷ τὸ ἀγαθόν. Ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίοις ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροῖς ὄντας τὰς ψυχάς. Ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως ἐπ' αὐτῶν τινα ἐλεῖν τῶν καλουμένων καλῶν τε κἀγαθῶν. Ἐπεὶ οὖν τὸν Ἰσχόμαχον*[18] *ἥκιστα πρὸς πάντων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ ξένων καὶ ἀστῶν καλόν τε κἀγαθὸν ἐπονομαζόμενον, ἐδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.*

CHAPITRE VII.

Σ. Ἰδὼν οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ[1] *καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον·*

ΣΩΚΡΑΤΗΣ. « Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν, κάθησαι; Ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι ὁρῶ σε ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ. »

ΙΣΧΟΜΑΧΟΣ. « Οὐδὲ ἂν νῦν γε, » ἔφη ὁ Ἰσχόμαχος, « ὦ Σώκρατες, ἐώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε. »

Σ. « Ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν, » ἔφην ἐγὼ « ποῖ διατρίβεις καὶ τί ποιεῖς; — Ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι τί ποτε πράττων καλός τε κἀγαθὸς κέκλησαι· ἐπεὶ οὐκ ἔνδον γε διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος καταφαίνεται. »

17. *Τοὺς . . . . εἶναι.* Construisez : *Περιελθεῖν τε τοὺς ἀγαθοὺς τέκτονας κτλ. καὶ θεάσασθαι τὰ ἔργα δεδοκιμασμένα αὐτοῖς* (comme *ὑπ' αὐτῶν*) *εἶναι καλά*

18. *Ἰσχόμαχον.* On manque absolument de renseignements sur la personne de cet Ischomachos, à moins qu'on n'admette que c'est le même personnage dont se moqua, à cause de son avarice, le poète comique Cratinos, le rival d'Aristophane.

Ch. VII] 1. Le portique de *Ζεὺς Ἐλευθέριος* formait, à ce qu'on croit, une partie de la bordure occidentale de l'agora d'Athènes.

Καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι, καὶ ἡσθεὶς, ὡς γ' ἐμοὶ ἔδοξεν, εἶπεν·

I. « Ἀλλ' εἰ μὲν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ, τινὲς καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα· οὐ γὰρ δὴ, ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας ἢ χορηγίας (2), οὐδεὶς » ἔφη « ζητεῖ τὸν καλόν τε κἀγαθὸν, ἀλλὰ σαφῶς » ἔφη « ὀνομάζοντές με Ἰσχόμαχον πατρόθεν (3) προσκαλοῦνται. Ἐγὼ μὲν τοίνυν, » ἔφη « ὦ Σώκρατες, ὅ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. Καὶ γὰρ δὴ » ἔφη « τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ (4) ἡ γυνή ἐστιν ἱκανὴ διοικεῖν. »

Σ. « Ἀλλὰ καὶ τοῦτο » ἔφην « ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα ὥστε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ. »

I. « Καὶ τί (5) ἄν, » ἔφη « ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἢ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμὲ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἐροίη (6); Οὐ γὰρ ἀγαπητὸν σοι δοκεῖ εἶναι εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; Ἐπεὶ τά γε ἀμφὶ γαστέρα » ἔφη « πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί. »

Σ. « Τὰ δ' ἄλλα, » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; »

I. « Οὐ μὰ Δί', » ἔφη ὁ Ἰσχόμαχος « οὐ πρίν γε καὶ ἔθυσα καὶ ηὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν. »

---

2. Τριηραρχίας ἢ χορηγίας. Lorsqu'un Athénien était désigné pour faire les frais d'une triérarchie ou d'une chorégie (voy. page 251. notes 15 et 18), il pouvait se soustraire à cette charge en indiquant, pour la remplir au lieu de lui, tel Athénien qu'il prétendait être plus riche que lui. Celui-ci refusait-il, il était alors tenu, si l'autre le proposait, de faire avec lui l'échange de leurs biens respectifs: cet échange s'appelait ἀντίδοσις.

3. Πατρόθεν, « en ajoutant le nom de mon père ». On sait que dans les actes officiels les personnes étaient désignées par leur nom et celui de leur père au génitif, plus la mention de leur *dème* (arrondissement); exemple: Δημοσθένης Δημοσθένους Παιανιεύς.

4. Καὶ αὐτή, à elle seule.

5. Τί est le régime de ἐπισταμένην.

6. Ἐροίη. L'optatif des futurs contractes est en οίην, οίης, οίη, au singulier, chez les Attiques.

Σ. «Οὐκοῦν» ἔφην ἐγὼ «καὶ ἡ γυνή σοι συνέθυε καὶ συνηύχ
ταὐτὰ ταῦτα;»

Ι. «Καὶ μάλα γ',» ἔφη ὁ Ἰσχόμαχος «πολλὰ ὑπισχνουμένη
πρὸς τοὺς θεοὺς(7) γενήσεσθαι οἵαν δεῖ, καὶ εὔδηλος ἦν
οὐκ ἀμελήσοι τῶν διδασκομένων.»

Σ. «Πρὸς θεῶν,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, τί(8) πρῶτον
δάσκειν ἤρχου αὐτὴν, διηγοῦ μοι, ὡς ἐγὼ ταῦτ' ἂν ἥδιόν
διηγουμένου ἀκούοιμι ἢ εἴ μοι γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα(9)
κάλλιστον διηγοῖο.»

Καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο·

Ι. «Τί δ';» ἔφη «ὦ Σώκρατες· ἐπεὶ ἤδη μοι χειροήθης ἦν »
ἐτετιθάσευτο ὥστε διαλέγεσθαι, ἠρόμην αὐτὴν» ἔφη » ὧδέ πω

«Εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας τίνος ποτὲ ἕνε
»ἐγώ τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἐδοσάν σε ἐμοί; Ὅτι μ
»γὰρ οὐκ ἀπορία ἦν μεθ' ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ' ὅ
»καὶ σοὶ καταφανὲς τοῦτ' ἐστί. Βουλευόμενος δ' ἐγώ τε ὑπὲ
»ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ τίν' ἂν κοινωνὸν βέλτιστ
»οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σ
»γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν(10), ἐμέ. Τέκνα μὲν ο
»ἦν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα πε
»αὐτῶν ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμ
»καὶ τοῦτο ἀγαθὸν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστ
»τυγχάνειν· νῦν δὲ δὴ ὁ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. Ἐγώ τε γ
»ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω, σύ τε ὅσα ἐπ
»νέγκω(11) πάντα εἰς τὸ κοινὸν κατέθηκας. Καὶ οὐ τοῦτο δ
»λογίζεσθαι πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλ
»ἐκεῖνο εὖ εἰδέναι ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς
»οὗτος τὰ πλείονος ἄξια συμβάλλεται.»

«Ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή·

ΓΥΝΗ. «Τί δ' ἂν ἐγώ σοι» ἔφη «δυναίμην συμπρᾶξαι; Τίς

---

7. Ὑπισχνουμένη πρὸς τοὺς θεοὺς, promettant *en s'adressant* aux die promettant à la face des dieux.

8. Τί, l'interrogatif direct, pour ὅ τι, l'interrogatif indirect, comme arrive souvent (διηγοῦ μοι ὅ τι κτλ.).

9. Γυμνικὸς ἀγών, jeu gymnique, savoir: lutte, combat du ceste, cou à pied, jeu du disque, etc.; ἱππικὸς ἀγών, course de chars, course selle, etc.

10. Ἐκ τῶν δυνατῶν, dans la mesure où il leur était possible (de choisi On a proposé cette autre traduction: «e potentibus, divitibus»; mais e paraît peu satifaisante pour la suite des idées.

11. Ἐπιφέρεσθαι, apporter en dot.

»ἡ ἐμὴ δύναμις; Ἀλλ' (12) ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ »μήτηρ ἔργον εἶναι σωφρονεῖν.»

I. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ὦ γύναι, καὶ γὰρ ἐμοὶ ὁ πατήρ. »Ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν »ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅτι πλεῖστα ἐκ »τοῦ καλοῦ τε καὶ δικαίου προσγενήσεται.»

Γ'ΥΝΗ. «Καὶ τί δὴ» ἔφη «ὁρᾷς» ἡ γυνὴ «ὅ τι ἂν ἐγὼ ποιοῦσα »συναύξοιμι τὸν οἶκον;»

I. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ἃ οἵ τε θεοὶ ἔφυσάν σε δύνα»σθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν.»

Γ'ΥΝΗ. «Καὶ τί δὴ ταῦτά ἐστιν;» ἔφη ἐκείνη.

I. «Οἶμαι μὲν ἔγωγε» ἔφην «οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μή πέρ »γε (13) καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις »ἔργοις ἐφέστηκεν. Ἐμοὶ γάρ τοι», ἔφη φάναι (14), «καὶ οἱ θεοί, »ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο »συντεθεικέναι ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως (15) ὅτι ὠφελι»μώτατον ᾖ αὐτῷ εἰς τὴν κοινωνίαν. Πρῶτον μὲν γὰρ τοῦ μὴ »ἐκλιπεῖν ζῴων γένη τοῦτο ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνο»ποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου »τοῦ ζεύγους τοῖς γοῦν, ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ »δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαί»θρῳ, ἀλλὰ στεγνῶν δεῖται δῆλον ὅτι. Δεῖ μέντοι, τοῖς μέλλουσιν »ἀνθρώποις ἔξειν ὅ τι εἰσφέρωσιν εἰς τὸ στεγνὸν, τοῦ ἐργασο»μένου (16) τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας· καὶ γὰρ νεατὸς καὶ »σπόρος καὶ φυτεία καὶ νομαὶ, ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν· »ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται. Δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰ»σενεχθῇ εἰς τὸ στεγνὸν, καὶ τοῦ σώσοντος ταῦτα, καὶ τοῦ ἐργα»σομένου ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι (17). Στεγνῶν δὲ δεῖ»ται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ »ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆ-

---

12. Ἀλλά. Pour se rendre compte de *ἀλλά*, il faut s.-ent. la réponse: *Je n'en ai aucune.*

13. *Εἰ μή πέρ γε*, s'il est vrai que . . . . ne . . . . pas.

14. *Ἔφη φάναι.* Ne pas perdre de vue que Socrate raconte qu'Ischomachos lui rapportrait une conversation qu'il avait eue avec sa femme. *Ἔφη*, *me* dit Ischomachos, *φάναι*, qu'il avait dit *à sa femme.*

15. *Μάλιστα ὅπως*, surtout dans cette vue que.

16. *Δεῖ . . . τοῦ ἐργασομένου*, et de même plus bas *δεῖ . . . τοῦ σώσοντος*, il faut quelqu'un pour faire, quelqu'un pour conserver. Cf. p. 261, n. 26.

17. *Δεόμενά ἐστι.* C'est comme s'il y avait *τοῦ ἐργασομένου τὰ ἔργα ἃ τῶν στεγνῶν δεῖται.*

»τος ἐκ τῶν ἐρίων ἐργασία. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἐργ
»καὶ ἐπιμελείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσι
φάναι(18) «εἰ θεὸς παρεσκεύασεν ὁ θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὴν μ
»τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τ
»ἀνδρὸς ἐπὶ τὰ ἔξω. Ῥῖγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοιπορί
»καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δί
»σθαι καρτερεῖν κατεσκεύασεν(19), ὥστε τὰ ἔξω ἐπέταξεν αὐ
»ἔργα· τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φ
»σας, τὰ ἔνδον ἔργα αὐτῇ» φάναι ἔφη «προστάξαι μοι δο
»ὁ θεός. Εἰδὼς δὲ ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε
»τῶν νεογνῶν τέκνων τροφὴν, καὶ τοῦ σπέργειν τὰ νεογνὰ βρέ
»πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. Ἐπεὶ δὲ καὶ τὸ φυλάττ
»τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσέταξε, γιγνώσκων ὁ θεὸς
»πρὸς τὸ φυλάττειν οὐ κακὸν ἕστι φοβερὰν(20) εἶναι τὴν ψυχ
»πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀνδ
»Εἰδὼς δὲ ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ, τὸν τὰ ἔ
»ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσα
»Ὅτι δ' ἀμφοτέροις δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνή
»καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκεν. Ὥστε
»ἂν ἔχοις διελεῖν πότερα τὸ ἔθνος τὸ ἦλι ἢ τὸ ἄρρεν τοῦ
»πλεονεκτεῖ. Καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ εἰς τὸ μέσον
»φοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς ὁπότερος
»ἢ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνὴ τοῦτον καὶ πλεῖον φέρεσ
»τούτου τοῦ ἀγαθοῦ. Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα τ
»τὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον
»λήλων καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἢ τὸ ἕ
»ρον ἐλλείπεται(21) τὸ ἕτερον δυνάμενον(22). Ταῦτα δὲ» ἔφ
«δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται ὑ
»τοῦ θεοῦ, πειρᾶσθαι ὅπως βέλτιστα τὰ προσήκοντα ἑκάτερ
»ἡμῶν διαπράττεσθαι(23). Συνεπαινεῖ δὲ» ἔφη φάναι καὶ ὁ

---

18. *Φάναι*, dit *Ischomachos* qu'il disait.

19. *Ῥῖγη τὸ σῶμα δύνασθαι καρτερεῖν κατεσκεύασεν*, il a bâti le co
de façon à pouvoir supporter le froid.

20. *Φοβέρος*, craintif (acception rare).

21. *Ἃ τὸ ἕτερον ἐλλείπεται*, ce dont l'autre est incapable.

22. *Το ἕτερον*, au même cas que *τὸ ζεῦγος*. expression collective d
il désigne un membre. En grec, le mot qui désigne la partie reste al
souvent au même cas que celui qui a servi à désigner le tout. On au
ici en latin l'ablatif absolu.

23 Construisez: *Δεῖ ἡμᾶς εἰδότας ταῦτα, ἃ ἑκατέρῳ κτλ., πειρᾶσθαι
πράττεσθαι ὅπως βέλτιστα τὰ προσήκοντα*. — *Ἑκατέρου ἡμῶν* (essayer
faire chacun, etc.), à l'accusatif comme *ἡμᾶς*, à cause du rapport de

»μος αὐτὰ, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. Καὶ κοινωνοὺς ὥσπερ »τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου(24) »καθίστησι. Καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν ἃ ὁ θεὸς »ἔφυσεν ἑκάτερον μᾶλλον δύνασθαι. Τῇ μὲν γὰρ γυναικὶ κάλλιον »ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον ἔνδον μένειν ἢ »τῶν ἔξω ἐπιμελεῖσθαι. Εἰ δέ τις παρ' ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, »ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λήθει, καὶ δίκην δίδωσιν »ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα. »Δοκεῖ δέ μοι» ἔφην «καὶ ἡ τῶν μελιττῶν ἡγεμὼν τοιαῦτα ἔργα »ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι.»

ΓΥΝΗ. «Καὶ ποῖα δὴ» ἔφη ἐκείνη «ἔργα ἔχουσα ἡ τῶν με»λιττῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις οἷς(25) ἐμὲ δεῖ πράττειν.»

Ι. «Ὅτι» ἔφην ἐγὼ «ἐκείνη γε ἐν τῷ σμήνει μένουσα οὐκ ἐᾷ »ἀργοὺς τὰς μελίττας εἶναι, ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι ἐκ»πέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ οἷδέ τε »καὶ δέχεται, καὶ σώζει ταῦτα ἔστ' ἂν δέῃ χρῆσθαι. Ἐπειδὰν δὲ »ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. Καὶ ἐπὶ »τοῖς ἔνδον δ' ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ »ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπιμελεῖται ὡς ἐκ»τρέφηται· ἐπειδὰν δὲ ἐκτραφῇ καὶ ἀξιοεργοὶ οἱ νεοττοὶ γένωνται, »ἀποικίζει(26) αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ ἡγεμόνι.»

ΓΥΝΗ. «Ἦ καὶ ἐμὲ οὖν» ἔφη ἡ γυνὴ «δεήσει ταῦτα ποιεῖν;»

Ι. «Δεήσει μέντοι (27) σε» ἔφην ἐγὼ «ἔνδον τε μένειν, καὶ »οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν, »οἷς δ' ἂν ἔνδον ἔργον ἐργαστέον, τούτων σοι ἐπιστατητέον· καὶ »τά τε εἰσφερόμενα ἀποδεκτέον, καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπα»νᾶν σοὶ διανεμητέον, ἃ δ' ἂν περιττεύειν δέῃ προνοητέον, καὶ »φυλακτέον ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν »μῆνα δαπανᾶται· καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον ὅπως »οἷς δεῖ ἱμάτια γίγνηται· καὶ ὅ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώ»διμος γίγνηται ἐπιμελητέον. Ἓν μέντοι τῶν σοὶ προσηκόντων» ἔφην ἐγὼ «ἐπιμελημάτων(28) ἴσως ἀχαριτώτερον δόξει εἶναι, ὅτι

---

et de partie: voy. la note précédente. — Ὅπως βέλτιστα, équivalent ionien de ὡς βέλτιστα.

24. Τοῦ οἴκου, sous-entendu κοινωνούς.

25. Οἷς, attraction pour ἅ. — La comparaison est énoncée dans une forme grammaticalement peu rigoureuse. Le sens est: Quelles sont les occupations de la reine des abeilles, qui sont comparables à celles de la ménagère?

26. Ἀποικίζει, elle les envoie fonder une colonie.

27. Μέντοι. Cf. p. 246, note 15.

28. Τῶν . . . . ἐπιμελημάτων dépend de ἕν (et non du comparatif).

»ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τοῦτον σοι ἐπιμελητέον πάντως ὅπως »θεραπεύηται.»

ΓΥΝΗ. «Νὴ Δί',» ἔφη ἡ γυνὴ «ἐπιχαριτώτατον μὲν οὖν, ἢν »μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι καὶ εὐνοι»στεροι ἢ πρόσθεν ἔσεσθαι.»

«Καὶ ἐγὼ» ἔφη ὁ Ἰσχόμαχος «ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν εἶπον·

I. «Ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν »τῷ σιτῶνι ἡγεμόνος αἱ μέλιτται οὕτω διατίθενται πρὸς αὐτήν, »ὥστε, ὅταν ἐκείνη ἐκλίπῃ(29), οὐδεμία οἴεται τῶν μελιττῶν ἀπο»λειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι;»

«Καὶ ἡ γυνή μοι ἀπεκρίνατο·

ΓΥΝΗ. «Θαυμάζοιμ' ἄν» ἔφη «εἰ μὴ πρὸς σὲ μᾶλλον τείνοι »τὰ τοῦ ἡγεμόνος ἔργα ἢ πρὸς ἐμέ. Ἡ γὰρ ἐμὴ φυλακὴ τῶν »ἔνδον καὶ διανομὴ γελοία τις ἂν, οἶμαι, φαίνοιτο, εἰ μὴ σύ γε »ἐπιμελοῖο ὅπως ἔξωθέν τι εἰσφέροιτο.»

I. «Γελοία δ' αὖ» ἔφην ἐγὼ «ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἄν, εἰ »μὴ εἴη ὅστις τὰ εἰσεισχθέντα σώζοι. Οὐχ ὁρᾷς» ἔφην ἐγὼ «οἱ »εἰς τὸν τετρημένον πίθον ἀντλεῖν(30) λεγόμενοι ὡς οἰκτείρον»ται, ὅτι μάτην πονεῖν δοκοῖσι;»

ΓΥΝΗ. «Νὴ Δί',» ἔφη ἡ γυνὴ «καὶ γὰρ τλήμονές εἰσιν, εἰ »τοῦτό γε ποιοῦσιν.»

I. «Ἄλλαι δέ τοι» ἔφην ἐγὼ «ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἕδεταί »σοι γίγνονται, ὁπόταν ἀνεπισήμονα ταλασίας λαβοῦσα ἐπιστή»μονα(31) ποιήσῃς καὶ διπλασίοι σοι ἄξια γένηται, καὶ ὁπόταν »ἀνεπισήμονα ταμείας καὶ διακονίας παραλαβοῦσα ἐπιστήμονα »καὶ πιστὴν καὶ διακονικὴν ποιησαμένη παντὸς ἀξίαν(32) ἔχῃς, καὶ »ὁπόταν τοὺς μὲν σώφρονάς τε καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ »σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι· »τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν »θεράποντα ποιήσῃ(33), καὶ μὴ δέῃ σε φοβεῖσθαι μή, προϊού»σης τῆς ἡλικίας, ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς ὅτι »πρεσβυτέρα γιγνομένη ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἰ»κου φύλαξ ἀμείνων γίγνῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ

---

29. *Ἐκλίπῃ*, sous-ent. *αὐτό*, c'est-à-dire *τὸ σμῆνος*.
30. Proverbe souvent cité: *Εἰς τὸν τετρημένον πίθον ἀντλεῖς*.
31. *Ἐπιστήμονα*, sous-ent. *τινά* (une servante).
32. *Παντὸς ἀξίαν*, d'un prix inestimable.
33. *Ποιεῖν, facere. Ποιεῖσθαι, sibi facere, sibi reddere.*

»ἔσει (34). Τὰ γὰρ καλά τε κἀγαθὰ» ἐγὼ ἔφην «οὐ διὰ τὰς »ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις »ἐπαύξεται.»

« Τοιαῦτα μέν, ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα »διαλεχθείς.»

CHAPITRE VIII.

Σ. «Ἦ καὶ ἐπέγνως τι, ὦ Ἰσχόμαχε,» ἔφην ἐγὼ «ἐκ τούτων(1) αὐτὴν κεκινημένην μᾶλλον πρὸς τὴν ἐπιμέλειαν;»

Ι. «Ναὶ μὰ Δί',» ἔφη ὁ Ἰσχόμαχος «καὶ δηχθεῖσάν γε οἶδα αὐτὴν καὶ ἐρυθριάσασαν σφόδρα ὅτι τῶν εἰσενεχθέντων τι αἰτήσαντος ἐμοῦ οὐκ εἶχέ μοι δοῦναι. Καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτὴν εἶπον·

« Μηδέν τι» ἔφην «ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦναι »ὅ σε αἰτῶν τυγχάνω. Ἔστι μὲν γὰρ πενία αὕτη(2) σαφὴς, τὸ »δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι· ἀλυποτέρα δὲ αὕτη ἡ ἔνδεια »τὸ ζητοῦντά τι μὴ δύνασθαι λαβεῖν ἢ τὴν ἀρχὴν(3) μηδὲ ζητεῖν »εἰδότα ὅτι οὐκ ἔστιν. Ἀλλὰ γὰρ» ἔφην ἐγὼ «τούτων οὐ σὺ αἰτία· »ἀλλ' ἐγὼ(4) οὐ τάξας σοι παρέδωκα ὅπου χρὴ ἕκαστα κεῖσθαι, »ὅπως εἰδῇς ὅπου τε δεῖ τιθέναι καὶ ὁπόθεν λαμβάνειν. Ἔστι »δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις »ὡς τάξις. Καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν· ἀλλ' »ὅταν μὲν ποιῶσιν ὅ τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται »καὶ θεᾶσθαι ἀτερπὲς, ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγ»γωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ »ἀξιάκουστοι. Καὶ στρατιά γε,» ἔφην ἐγὼ «ὦ γύναι, ἄτακτος μὲν »οὖσα ταραχωδέστατον, καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, »τοῖς δὲ φίλοις ἀηδέστατον ὁρᾶν καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, »ὁπλίτης, σκευοφόρος, ψιλὸς, ἱππεὺς, ἅμαξα. Πῶς γὰρ ἂν πορευ»θεῖεν, ἐὰν ἔχοντες οὕτως ἐπικωλύσωσιν ἀλλήλους, ὁ μὲν βαδίζων »τὸν τρέχοντα, ὁ δὲ τρέχων τὸν ἑστηκότα, ἡ δὲ ἅμαξα τὸν ἱππέα, »ὁ δὲ ὄνος τὴν ἅμαξαν, ὁ δὲ σκευοφόρος τὸν ὁπλίτην; Εἰ δὲ καὶ »μάχεσθαι δέοι, πῶς ἂν οὕτως ἔχοντες μαχέσαιντο; οἷς γὰρ

---

34. Ἔσει. Cf. la note 17 de la page 246.

Ch. VIII. 1. Ἐκ τούτων, à la suite de ces paroles.

2. Αὕτη, au fém. à cause de πενία; même sens que τοῦτο: τοῦτό ἐστι πενία σαφὴς, τὸ κτλ.

3. Cf. page 252, note 32.

4. Ἀλλ' ἐγώ, c'est moi qui.

»ἀνάγκη αὐτῶν(5) τοὺς ἐπιόντας φεύγειν, οὗτοι ἱκανοί εἰσι »φεύγοντες καταπαῖσαι τοὺς ὅπλα ἔχοντας. Τεταγμένη δὲ »στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, διασχερέστατον δὲ τοῖς »πολεμίοις. Τίς μὲν γὰρ οὐκ ἂν φίλος ἡδέως θεάσαιτο ὁπλί»τας πολλοὺς ἐν τάξει πορευομένους, τίς δ' οὐκ ἂν θαυμάσειεν »ἱππέας κατὰ τάξεις ἐλαύνοντας, τίς δ' οὐκ ἂν πολέμιος φοβη»θείη ἰδὼν διειλημμένους ὁπλίτας, ἱππέας, πελταστάς, τοξό»τας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι τεταγμένως ἑπομένους; »Ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν πολλαὶ μυριάδες ὦσιν, »ὁμοίως, ὥσπερ εἷς ἕκαστος, καθ' ἡσυχίαν πάντες πορεύον»ται· εἰς γὰρ τὸ κενούμενον ἀεὶ(6) οἱ ὄπισθεν ἐπέρχονται. Καὶ »τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν »ἐστι πολεμίοις ἢ φίλοις ἀξιοθέατον ἢ ὅτι ταχὺ πλεῖ; Διὰ τί »δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει »μὲν κάθηνται, ἐν τάξει δὲ προνέουσιν, ἐν τάξει δ' ἀναπίπτουσιν, »ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν; Ἡ δ' ἀταξία ὅμοιόν τί μοι »δοκεῖ εἶναι οἷόνπερ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ πυροὺς »καὶ ὄσπρια· κἄπειτα, ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου ἢ ὄψου(7), δια»λέγειν δέοι αὐτῷ ἀντὶ τοῦ λαβόντα διειλημμένοις χρῆσθαι. »Καὶ σὺ οἶν, ὦ γύναι, εἰ τοῦ μὲν ταράττοι τοιοῦτοι μὴ δέοιο, βού»λοιο δ' ἀκριβῶς διοικεῖν τὰ ὄντα εἰδέναι, καὶ τῶν ὄντων εὐπό»ρως λαμβάνουσα ὅτῳ ἂν δέῃ χρῆσθαι, καὶ ἐμοὶ, ἐάν τι αὐτῷ, »ἐν χάριτι διδόναι, χώραν τε δοκιμασώμεθα τὴν προσήκουσαν »ἑκάστοις ἔχειν(8) καὶ, ἐν ταύτῃ θέντες, διδάξωμεν τὴν διάκονον »λαμβάνειν τε ἐντεῦθεν καὶ κατατίθεναι πάλιν εἰς ταύτην· καὶ »οὕτως εἰσόμεθα τά τε σᾶ(9) ὄντα καὶ τὰ μή(10)· ἡ γὰρ χώρα »αὐτὴ τὸ μὴ ὂν ποθήσει, καὶ τὸ δεόμενον θεραπείας ἐξετάσει ἡ »ὄψις, καὶ τὸ εἰδέναι ὅπου ἕκαστόν ἐστι ταχὺ ἐγχειριεῖ(11), ὥστε »μὴ ἀπορεῖν χρῆσθαι.»

---

5. *Οἷς αὐτῶν*, ceux d'entre eux pour qui. — Il s'agit du train, de la cavalerie et des troupes légères, par opposition aux hoplites (*οἱ ὅπλα ἔχοντες*).

6. *Τὸ κενούμενον ἀεί*, le vide qui se produit chaque fois que les soldats du rang précédent avancent une jambe. — *Ἀεί*, qui se produit sans cesse

7. *Μάζα*, sorte de galette faite d'orge; le pain se faisait de pur froment; *ὄψον*, un plat: il s'agit ici d'un plat de fèves, de pois ou d'autres légumineuses.

8. *Τὴν προσήκουσαν ἑκάστοις ἔχειν*, celle qu'il est convenable pour chaque chose d'avoir.

9. *Σᾶ*. Voy. p. 255, n. 4.

10. *Καὶ τὰ μή*, comme *καὶ εἴ τινα μὴ σᾶ ἐστι*, ce qui explique l'emploi de *μή* (et non de *οὐ*).

11. *Ἐγχειριεῖ*. Les Attiques, pour les verbes, à trois ou plus de trois

« Καλλίστην δέ ποτε καὶ ἀκριβεστάτην ἔδοξα σκευῶν τάξιν ἰδεῖν, ὦ Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸν Φοινικικόν (12). Πλεῖστα γὰρ σκεύη ἐν σμικροτάτῳ ἀγγείῳ διακεχωρισμένα ἐθεασάμην. Διὰ πολλῶν μὲν γὰρ δήπου » ἔφη « ξυλίνων σκευῶν (13) καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται, διὰ πολλῶν δὲ τῶν κρεμαστῶν καλουμένων πλεῖ, πολλοῖς δὲ μηχανήμασιν (14) ἀνθωπλισται πρὸς τὰ πολέμια πλοῖα, πολλὰ δὲ ὅπλα τοῖς ἀνδράσι συμπεριάγει, πάντα δὲ σκεύη ὅσοισπερ ἐν οἰκίᾳ χρῶνται ἄνθρωποι τῇ συσσιτίᾳ ἑκάστῃ κομίζει· γέμει δὲ παρὰ πάντα φορτίων ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται. Καὶ ὅσα λέγω » ἔφη « ἐγώ, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ (15). Καὶ οὕτω κείμενα ἕκαστα κατενόησα ὡς οὔτε ἄλληλα ἐμποδίζει οὔτε μαστευτοῦ δεῖται οὔτε ἀσυσκεύαστά ἐστιν οὔτε δυσλύτως ἔχει, ὥστε διατριβὴν παρέχειν, ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι. Τὸν δὲ τοῦ κυβερνήτου διάκονον, ὃς πρωρεὺς τῆς νεὼς καλεῖται, οὕτως ἡῦρον ἐπιστάμενον ἑκάστων τὴν χώραν ὡς καὶ ἀπιὼν ἂν εἴποι ὅπου ἕκαστα κεῖται καὶ ὁπόσα ἐστὶν, οὐδὲν ἧττον ἢ ὁ γράμματα ἐπιστάμενος εἴποι ἂν Σωκράτους καὶ ὁπόσα γράμματα καὶ ὅπου ἕκαστον τέτακται. Εἶδον δὲ » ἔφη ὁ Ἰσχόμαχος « καὶ ἐξετάζοντα τοῦτον αὐτὸν ἐν τῇ σχολῇ πάντα ὁπόσοις ἄρα δεῖ ἐν τῷ πλῷ χρᾶσθαι. Θαυμάσας δὲ » ἔφη « τὴν ἐπίσκεψιν αὐτοῦ ἠρόμην τί πράττοι. Ὁ δ' εἶπεν· « Ἐπισκοπῶ, » ἔφη « ὦ ξένε, εἴ τι » συμβαίνοι γίγνεσθαι, πῶς κεῖται » ἔφη « τὰ ἐν τῇ νηὶ, εἴ τι ἀπο- » στατεῖ ἢ εἰ δυστραπέλως τι σύγκειται. Οὐ γὰρ » ἔφη « ἐγχωρεῖ, » ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάττῃ, οὔτε μαστεύειν ὅτου ἂν δέῃ » οὔτε δυστραπέλως ἔχον διδόναι. Ἀπειλεῖ γὰρ ὁ θεὸς καὶ κολάζει » τοὺς βλᾶκας· ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ

---

syllabes, en *ίζω*, emploient régulièrement, au lieu de la forme commune en *ίσω*, le futur contracte en *ιῶ*.

12. *Πλοῖον τὸ Φοινικικόν.* Ischomachos parle évidemment d'un certain vaisseau, bien connu alors dans le port d'Athènes, qui, sans doute, faisait un service régulier entre une autre contrée et Athènes.

13. *Σκευῶν*, les agrès, c'est-à-dire dans un vaisseau tout ce qui n'est pas la coque. Ils se divisent ordinairement en *σκεύη ξύλινα*, à savoir les rames, avirons, gouvernails, mâts, vergues, etc., et en *σκεύη κρεμαστά*, voiles, cordages, ancres, etc. Dans le texte ci-dessus, les cordages sont désignés par l'expression spéciale de *σκεύη πλεκτά*.

14. *Μηχανήμασιν*, engins de guerre.

15. *Δεκακλίνῳ στέγῃ συμμέτρῳ.* On traduit généralement: « salle à manger ordinaire à dix lits. » Nous entendons autrement: *Δεκάκλινος*, de la contenance de 10 *κλίναι*, soit 100 coudées carrées ou 25 mètres carrés. *Στέγη*, salle ou étage; *συμμέτρῳ*, bien proportionné.

»ἀγαπητόν· ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολ
»χαρίς» ἔφῃ «τοῖς θεοῖς(16).»

«Ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρίβειαν τῆς κατασκευῆς ἐλεγ
»τῇ γυναικὶ ὅτι «Πάνυ ἂν ἡμῶν εἴη βλακικόν, εἰ οἱ μὲν ἐν τα
»πλοίοις καὶ μικροῖς οὖσι χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχ
»ρῶς ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι ὅμως εὑρ
»σκουσι τὸ δέον λαμβάνειν, ἡμεῖς δὲ καὶ διηρημένων ἑκάστο
»θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων καὶ βεβηκυίας τῆς οἰκίας ἐν δαπεδ
»μὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν. Ἡ
»μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατασκευήν, καὶ ὡς ῥᾴδα
»χώραν ἑκάστοις αὐτῶν εὑρεῖν ἐν οἰκίᾳ θεῖναι(17) ὡς ἑκάστ
»συμφέρει, εἴρηται· ὡς(18) δὲ καλὸν φαίνεται, ἐπειδὰν ὑποδήμα
»ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ(19), καλὸν δὲ ἱμάτια κεχωρισμέ
»ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλ
»δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ — ὃ πάντων καταγελάσει
»ἂν μάλιστα οὐχ ὁ σεμνὸς, ἀλλ' ὁ κομψὸς, ὅτι καὶ χύτρας φη
»εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. Τὰ δὲ ἄλλα ἤδη π
»ἀπὸ τούτου(20) ἅπαντα καλλίω φαίνεται. Χορὸς γὰρ σκευ
»ἕκαστα φαίνεται, κατὰ κόσμον κείμενα(21). Καὶ τὸ μέσον δὲ τ
»των καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου· ὥσπερ κύκλ
»χορὸς(22) οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσ
»αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται. Εἰ δ' ἀληθῆ ταῦτα λέχ
»ἔξεστιν,» ἔφην «ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν οὔτε
»ζημιωθέντας οὔτε πολλὰ πονήσαντας. Ἀλλὰ μὴν οὐδὲ τοῦτο «
»ἀθυμῆσαι, ὦ γύναι,» ἔφην ἐγὼ «ὡς χαλεπὸν εὑρεῖν τὸν μαθ
»σόμενόν(23) τε τὰς χώρας καὶ μεμνησόμενον καταχωρίζειν ἕκαστ
»Ἴσμεν γὰρ δήπου ὅτι μυριοπλάσια ἡμῶν(24) ἅπαντα ἔχει ἡ πα
»πόλις, ἀλλ' ὅμως ὁποῖον ἂν τῶν οἰκετῶν κελεύσῃς πριάμενόν

---

16. *Ὁ θεὸς — τοῖς θεοῖς.* Le dieu dont parle le pilote, qui fait tempête sur la mer, qui menace et châtie les négligents, qui sauve ce qui ont bien rempli leur devoir de matelots, apparait ici comme un «gé des mers» subordonné à la puissance «des dieux.»

17. *Χώραν . . . . θεῖναι*, un endroit *pour les* placer.

18. *Ὡς κτλ. quam pulchrum!*

19. *Κἂν ὁποῖα ᾖ = καὶ ὁποῖα ἂ ᾖ*, quelles qu'elles soient.

20. *Ἀπὸ τούτου*, par le fait d'être *εὐκρινῶς κείμενα*

21. *Ἕκαστα*, toute espèce de choses. — *Κατὰ κόσμον κείμενα*, qua elles sont mises en ordre. De même à la ligne suivante, *ἐκποδὼν ἑκάστ κειμένου*, quand chaque objet est à distance (du centre).

22. *Κύκλιος χορός.* Les chœurs cycliques étaient formés soit d'homm soit d'enfants, chantant en rond autour de l'autel d'une divinité

23. Cf. la n. 26 de la p. 261.

24. *Μυριοπλάσια ἡμῶν* équivaut à *μυριοπλάσια ἢ ἡμεῖς.*

»σοι ἐξ ἀγορᾶς ἐνεγκεῖν, οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς φα»νεῖται ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. Τούτου μέντοι» ἔφην ἐγὼ «οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ ὅτι ἐν χώρᾳ κεῖται τεταγμένῃ. »Ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, πολ»λάκις ἄν τις πρότερον πρὶν εὑρεῖν ἀπείποι. Καὶ τούτου αὖ »οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ τὸ μὴ εἶναι τεταγμένον ὅπου ἕκαστον »δεῖ ἀναμένειν.»

« Περὶ μὲν δὴ τάξεως σκευῶν καὶ χρήσεως τοιαῦτα αὐτῇ διαλεχθεὶς δοκῶ μεμνῆσθαι. »

CHAPITRE IX.

Σ. « Καὶ τί δή; Ἡ γυνὴ ἐδόκει σοι, » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, πῶς τι ὑπακούειν ὧν σὺ ἐσπούδαζες διδάσκων; »

Ι. « Τί δὲ, εἰ μὴ ὑπισχνεῖτό γε(1) ἐπιμελήσεσθαι καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ ηὑρηκυῖα, καὶ ἐδεῖτό μου ὡς τάχιστα ἅπερ ἔλεγον διατάξαι. »

Σ. « Καὶ πῶς δὴ » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ; »

Ι. « Τί δὲ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν γ' ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ. Οὐ γὰρ ποικίλμασι κεκόσμηται, ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα(2) ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι, ὥστε αὐτὰ ἐκάλει τὰ πρέποντα ἑνὶ ἑκάστῳ. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει, τὰ δὲ ξηρὰ τῶν στεγνῶν τὸν σῖτον, τὰ δὲ ψυχεινὰ τὸν οἶνον, τὰ δὲ φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ψυχεινὰ, τοῦ δὲ χειμῶνος ἀλεεινά(3). Καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται(4), ὥστε εὔδηλον εἶναι ὅτι χειμῶνος μὲν εὔειλός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ, θύρᾳ βαλανωτῇ(5)

Ch. IX. 1.] *Τί δὲ, εἰ μὴ... γε*, et quoi, et qu'arriva-t-il, sinon que...?

2. *Πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα*, étudiées, calculées en vue de ceci.

3. Phrase évidemment altérée.

4. *Πρὸς μεσημβρίαν ἀναπέπταται*, s'ouvre au midi. C'est-à-dire que la façade principale était au midi: les fenêtres, fermées uniquement par des volets de bois, s'ouvraient en dehors. En laissant les volets fermés, l'été, pendant la chaleur, on conservait la fraîcheur dans les appartements; on les ouvrait l'hiver, quand il faisait soleil.

5. *Θύρᾳ βαλανωτῇ*, porte fermée avec un *βάλανος*, nous dirions *à clef*. — Une traverse horizontale (*μοχλός*), fixée au battant de la porte et le

αὐτῶν καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα, εἴπομεν αὐτῇ διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι ὅ τι ἄν τῳ διδῷ, καὶ ἀπολαμβάνουσαν κατατιθέναι πάλιν ὅθενπερ ἂν ἕκαστα λαμβάνῃ.

«Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς καὶ οἴνου καὶ ὕπνου καὶ ἀνδρῶν συνουσίας, πρὸς τούτοις δὲ ἥ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν(18) μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν ὅπως χαριζομένη τι ἡμῖν ὑφ' ἡμῶν ἀντιτιμήσεται. Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς, ὅτ' εὐφραινοίμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. Καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτὴν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες. Καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τιθέντες(14) τοὺς δικαίους τῶν ἀδίκων καὶ ἐπιδεικνύοντες πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων· καὶ αὐτὴν δὲ ἐν ταύτῃ τῇ χώρᾳ κατετάττομεν. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον,» ἔφη «ὦ Σώκρατες, ἐγὼ τῇ γυναικὶ ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται ὅπως διαμενεῖ ἑκάστῳ ἡ τάξις. Ἐδίδασκον δὲ αὐτὴν ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι. Νομίσαι οὖν ἐκέλευον» ἔφη «τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι, καὶ ἐξετάζειν δὲ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς(15) ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾶν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων(16) δεόμενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν» ἔφη «ὡς οὐκ ἂν ἄχθοιτο δικαίως εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα, ἐπιδεικνύων ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆ-

---

13. *Τὸ προνοεῖν . . . καὶ σκοπεῖν*, régime de *ἔχειν* (comme *τὸ μνημονικόν*).

14. *Τιμιωτέρους τιθέντες*, ionisme pour *διὰ πλείονος τιμῆς ἄγοντες* ou *ἔχοντες*.

15. *Τὰς φυλακὰς*. V. p. 259, n. 11.

16. *Τούτων*, c.-à-d. *τοῦ λοιδορεῖσθαι καὶ τοῦ κολάζεσθαι*.

εἶναι ἢ ἦν, πολλῇ δ' ἐγχούσῃ(5), ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα δ' ἔχουσαν ὑψηλὰ, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπεφύκει,

«Εἰπέ μοι,» ἔφην «ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιοφίλητον μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοιμι καὶ μήτε κομπάζοιμι ὡς πλείω τῶν ὄντων ἔστι μοι, μήτε ἀποκρυπτοίμην τῶν ὄντων μηδὲν, ἢ εἰ πειρώμην τέ σε ἐξαπατᾶν λέγων ὡς πλείω ἔστι μοι τῶν ὄντων, ἐπιδεικνύς τε ἀργύριον κίβδηλον δολοίην σε καὶ ὅρμους ὑποξύλους, καὶ πορφυρίδας ἐξιτήλους φαίην ἀληθινὰς εἶναι;»

«Καὶ ὑπολαβοῦσα εὐθύς·

ΓΥΝΗ. «Εὐφήμει·» ἔφη «μὴ γένοιο σὺ τοιοῦτος· οὐ γὰρ ἂν ἔγωγέ σε δυναίμην, εἰ τοιοῦτος εἴης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς.»

Ι. «Οὐκοῦν» ἔφην ἐγὼ «συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν σωμάτων κοινωνήσοντες ἀλλήλοις;»

ΓΥΝΗ. «Φασὶ γοῦν» ἔφη «οἱ ἄνθρωποι.»

Ι. «Ποτέρως ἂν οὖν» ἔφην ἐγὼ «τοῦ σώματος αὖ δοκοίην εἶναι ἀξιοφίλητος μᾶλλον κοινωνὸς, εἴ σοι τὸ σῶμα πειρώμην παρέχειν τὸ ἐμαυτοῦ ἐπιμελόμενος ὅπως ὑγιαῖνόν τε καὶ ἐρρωμένον ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι μίλτῳ(6) ἀλειφόμενος καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀνδρεικέλῳ ἐπιδεικνύοιμί τε ἐμαυτὸν καὶ συνείην ἐξαπατῶν σε καὶ παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρωτός;»

ΓΥΝΗ. «Ἐγὼ μὲν» ἔφη ἐκείνη «οὐτ' ἂν μίλτου ἁπτοίμην ἥδιον ἢ σοῦ, οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ σὸν, οὔτ' ἂν τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς ἢ ὑγιαίνοντας.»

Ι. «Καὶ ἐμὲ τοίνυν νόμιζε,» εἰπεῖν ἔφη ὁ Ἰσχόμαχος «ὦ γύναι, μήτε ψιμυθίου μήτε ἐγχούσης χρώματι ἥδεσθαι μᾶλλον ἢ τῷ σῷ, ἀλλ' ὥσπερ οἱ θεοὶ ἐποίησαν ἵπποις μὲν ἵππους, βουσὶ δὲ βοῦς ἥδιστον, προβάτοις δὲ πρόβατα, οὕτω καὶ οἱ ἄνθρωποι ἀνθρώπου σῶμα καθαρὸν οἴονται ἥδιστον εἶναι· αἱ δ' ἀπάταιαὐταὶ τοὺς μὲν ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾶν,

---

5. Ἐγχούσῃ, orcanète, nom que portent deux plantes de la famille des Borraginées, la Buglosse teignante (*Anchusa tinctoria*) et le Grémil des teinturiers (*Lithospermum tinctorium*). L'une et l'autre renferment dans la portion corticale de la racine un principe colorant. La buglosse fournit une jolie couleur vermeille, peu tenace; le grémil, un principe colorant d'un blanc rouge. Les dames grecques ou romaines qui se fardaient ne connaissaient pas d'autre *rouge* que ces deux substances végétales.

6. Μίλτῳ, minium (oxyde rouge de plomb).

σθαι δὲ οὐδ.
σπότου δὲ ἐ
οὖν καὶ σὺ
τούτῳ καὶ
Σ. « Τί
πώς σοι
Ι. «
ὀρθῶς
ἐπιμ
φάν
λεῖ
«
»
ἐ
ἐ

... ἂν ἐπιχειρῶσιν ἐξαπατᾶ
... ἐξανιστάμενοι πρὶν πα
... λείχονται ἢ ὑπὸ δακρύων βα
... ἐπεύθησαν. »
... πρὸς ταῦτα ἀπεκρίνατο:
... τοιοῦτον μὲν οὐδὲ
... ἀληθῆ δὲ καὶ πρεπόντως ἔχο
... Καὶ ἐμὲ μέντοι ἠρώτα εἴ
... καλὴ φαίνοιτο, ἀλλὰ μὴ μ
... ὦ Σώκρατες, » ἔφη « συνεβο
... ἀθῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς π.
... τὸν ἱστὸν προσστᾶσαν ὅ τι μ
... διδάξαι. ὅ τι δὲ χεῖρον ἐπιμαθεῖ
... ἀποπιὼν. παραστῆναι δὲ καὶ ἀπορ
... μελετᾶν δὲ καὶ ἐπισκοπουμένην εἰ κα
... Ταῦτα γὰρ ἐδόκει μοι ἅμα ἐπιμ
... ἡσθὴν δὲ ἔφην εἶναι γυμνάσιον κ
... ματια καὶ στρώματα ἀνασείσαι καὶ σ
... ἔφην οὕτως ἂν(9) καὶ ἐσθίειν ἥδι
... χρωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ. « Κ
... νεμονῆσαι(10) διακόνῳ καθαρωτέρα οὐ
... μαινομένῃ, κινητικὸν γίγνεται, ἄλλως τ
... χρῆσθαι(11) προσῇ ἀντὶ τοῦ ἀνα
... εἰ δ' ἀεὶ καθήμεναι σεμνῶς πρὸς τ
... ἐπιπωμάσας κρίνεσθαι παρέχουσιν ἑαυτάς.
... οὕτως. εἰ ἴσθι, ἡ γυνή μου κατ
... ἐγὼ ἐδίδασκον αὐτὴν καὶ ὥσπερ νῦ

CHAPITRE XI.

... περὶ τῶν τῆς γυναικὸς ἔργων ἱκα-

... ἂν.
... ἂν, comme s'il y avait κα θ' ἥν. Les Grecs
... quelquefois.
... C'est comme s'il y avait: εἰ γεμάζοιτο
... ἡ.
... ἡμῖν.

νῶς μοι δοκῶ ἀκηκοέναι τὴν πρώτην(1), καὶ ἄξιά γε πάνυ ἐπαίνου ἀμφοτέρων ὑμῶν(2)· τὰ δ' αὖ σὰ ἔργα» ἔφην ἐγὼ «ἤδη μοι λέγε, ἵνα σύ τε ἐφ' οἷς εὐδοκιμεῖς διηγησάμενος ἥσθῇς, κἀγὼ τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἔργα τελέως διακο'σας καὶ καταμαθών, ἢν δύνωμαι, πολλήν σοι χάριν εἰδῶ.

I. «Ἀλλὰ, νὴ Δί',» ἔφη ὁ Ἰσχόμαχος «καὶ πάνυ ἡδέως σοι, ὦ Σώκρατες, διηγήσομαι ἃ ἐγὼ ποιῶν διατελῶ, ἵνα καὶ μεταρρυθμίσῃς με, ἐάν τί σοι δοκῶ μὴ καλῶς ποιεῖν.»

Σ. «Ἀλλ' ἐγὼ μὲν δὴ» ἔφην «πῶς ἂν δικαίως μεταρρυθμίσαιμι ἄνδρα ἀπειργασμένον καλόν τε κἀγαθὸν, καὶ ταῦτα ὢν ἀνὴρ ὃς ἀδολεσχεῖν τε δοκῶ καὶ ἀερομετρεῖν καὶ, τὸ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι. Καὶ πάνυ μεντἂν, ὦ Ἰσχόμαχε, ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐπικλήματι τούτῳ(3), εἰ μὴ πρῴην ἀπαντήσας τῷ Νικίου(4) τοῦ ἐπηλύτου ἵππῳ εἶδον πολλοὺς ἀκολουθοῦντας αὐτῷ θεατὰς, πολὺν δὲ λόγον ἐχόντων τινῶν περὶ αὐτοῦ ἤκουον· καὶ δῆτα ἡρόμην προσελθὼν τὸν ἱπποκόμον εἰ πολλὰ εἴη χρήματα τῷ ἵππῳ. Ὁ δὲ προσβλέψας με ὡς οὐδὲ ὑγιαίνοντα τῷ ἐρωτήματι(5) εἶπε· «Πῶς δ' ἂν ἵππῳ χρήματα γένοιτο;» Οὕτω δὴ ἐγὼ ἀνέκυψα ἀκούσας ὅτι ἐστὶν ἄρα θεμιτὸν καὶ πένητι ἵππῳ ἀγαθῷ γενέσθαι, εἰ τὴν ψυχὴν φύσει ἀγαθὴν ἔχοι. Ὡς οὖν θεμιτὸν καὶ ἐμοὶ ἀγαθῷ ἀνδρὶ γενέσθαι, διηγοῦ τελέως τὰ σὰ ἔργα, ἵνα, ὅ τι ἂν δύνωμαι ἀκούων καταμαθεῖν(6), πειρῶμαι καὶ ἐγώ σε ἀπὸ τῆς αὔριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι· καὶ γὰρ ἀγαθή ἐστιν» ἔφην ἐγὼ «ἡμέρα(7) ὡς ἀρετῆς ἄρχεσθαι.»

I. «Σὺ μὲν παίζεις,» ἔφη ὁ Ἰσχόμαχος «ὦ Σώκρατες, ἐγὼ δ' ὅμως σοι διηγήσομαι ἃ ἐγὼ ὅσον δύναμαι πειρῶμαι ἐπιτηδεύων διαπερᾶν τὸν βίον. Ἐπεὶ γὰρ καταμεμαθηκέναι δοκῶ ὅτι οἱ θεοὶ τοῖς ἀνθρώποις, ἄνευ μὲν τοῦ γιγνώσκειν τε ἃ δεῖ ποιεῖν καὶ ἐπιμελεῖσθαι ὅπως ταῦτα περαίνηται, οὐ θεμιτὸν ἐποίησαν εὖ

Ch. XI.] 1. *Τὴν πρώτην*, en premier lieu.

2. *Ἄξια ἐπαίνου ἀμφοτέρων ὑμῶν*, des choses telles que vous méritez tous les deux des louanges.

3. *Τῷ ἐπικλήματι τούτῳ*, à cause de cette appellation. Pour ce sens du datif, cf. ci-dessous, n. 5.

4. *Τῷ Νικίου*. On ne sait pas de quel personnage il est ici question.

5. *Προσβλέψας με τῷ ἐρωτήματι*, me regardant avec étonnement à cause de cette question.

6. *Ὅ τι . . . καταμαθεῖν*, en tout ce que je pourrai avoir appris en t'écoutant.

7. *Ἀγαθὴ ἡμέρα*. On sait que chez les anciens, certains jours valaient mieux que d'autres pour commencer quoi que ce fût.

[illegible], φρονίμοις (8) δ' οὖσι καὶ ἐπιμελέσι τοῖς μὲν διδόασι [illegible], τοῖς δ' οὔ, οὕτω δὴ ἐγὼ ἄρχομαι μὲν τοὺς θεοὺ [illegible], πειρῶμαι δὲ ποιεῖν ὡς ἂν θέμις ᾖ μοι εὐχομένῳ κα[illegible] τυγχάνειν καὶ ῥώμης σώματος καὶ τιμῆς ἐν πόλει καὶ εὐ[illegible] ἐν φίλοις καὶ ἐν πολέμῳ καλῆς σωτηρίας καὶ πλούτου κα[illegible] αὐξομένου.»

Καὶ ἐγὼ ἀκούσας ταῦτα·

Σ. «Μέλει γὰρ(9) δή σοι, ὦ Ἰσχόμαχε, ὅπως πλουτῇς κα[illegible] πολλὰ χρήματα ἔχων πολλὰ ἔχῃς πράγματα(10) τούτων ἐπιμ[illegible]λόμενος;»

Ι. «Καὶ πάνυ γ'» ἔφην ὁ Ἰσχόμαχος «μέλει μοι τούτων [illegible] ἐρωτῷς· ἡδὺ γάρ μοι δοκεῖ, ὦ Σώκρατες, καὶ θεοὺς μεγαλείως τ[illegible] τιῶν, καὶ φίλους, ἤν τινος δέωνται, ἐπωφελεῖν, καὶ τὴν πόλιν μ[illegible] δὲν τὸ κατ' ἐμὲ χρήμασιν ἀκόσμητον εἶναι.»

Σ. «Καὶ γὰρ καλὰ,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, ἐστὶν ἃ σὺ λέγει[illegible] καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός. Πῶς γὰρ οὔ, ὅτε πολλοὶ μ[illegible] εἰσιν ἄνθρωποι οἳ οὐ δύνανται ζῆν ἄνευ τοῦ ἄλλων δεῖσθαι, πο[illegible] λοὶ δ' ἀγαπῶσιν ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκοῦντα πορίζεσθα[illegible] Οἱ δὲ δὴ δυνάμενοι μὴ μόνον τὸν ἑαυτῶν οἶκον διοικεῖν, ἀλλ[illegible] καὶ περιποιεῖν(11) ὥστε καὶ τὴν πόλιν κοσμεῖν καὶ τοὺς φίλου[illegible] ἐπικουφίζειν, πῶς τούτους(12) οὐχὶ βαθεῖς(13) τε καὶ ἐρρωμένου[illegible] ἄνδρας χρὴ νομίσαι; Ἀλλὰ γὰρ ἐπαινεῖν μὲν» ἔφην ἐγὼ «τοῦ[illegible] τοιούτους πολλοὶ δυνάμεθα· σὺ δέ μοι λέξον, ὦ Ἰσχόμαχε, ἀφ[illegible] ὥσπερ ἤρξω, πῶς ὑγιείας ἐπιμελεῖ(14); πῶς τῆς τοῦ σώματο[illegible] ῥώμης; πῶς θέμις εἶναί σοι(15) καὶ ἐκ πολέμου καλῶς σώζεσθαι[illegible] τῆς δὲ χρηματίσεως πέρι καὶ μετὰ ταῦτα» ἔφην ἐγὼ «ἀρκέσε[illegible] ἀκούειν.»

Ι. «Ἀλλ' ἔστι μέν,» ἔφη ὁ Ἰσχόμαχος «ὥς γε ἐμοὶ δοκεῖ, ὦ Σώκρατες, ἀκόλουθα ταῦτα πάντα ἀλλήλων. Ἐπεὶ γὰρ ἐσθίειν τ[illegible] τὰ ἱκανὰ ἔχει, ἐκπονοῦντι μὲν ὀρθῶς μᾶλλον δοκεῖ μοι ἡ ὑγίει[illegible]

8 Οἱ φρόνιμοι équivaut à οἱ γιγνώσκοντες ἃ δεῖ ποιεῖν. A l'autre term[illegible] ἐπιμελεῖσθαι ὅπως κτλ. correspond ici ἐπιμελέσι.

9 Γάρ s'explique par quelque chose de sous-entendu, comme τοῦτο [illegible] θαυμάζω, avant μέλει γὰρ δή σοι.

10 Πράγματα ἔχειν, avoir des embarras.

11 Περιποιεῖν. Voy. p. 252, n. 28.

12 Οἱ δὲ δὴ δυνάμενοι . . ., πῶς τούτους, anacoluthe.

13 Βαθύς se disait d'un homme riche et puissant.

14 Ἐπιμελεῖ. Sur les secondes personnes du moyen en ει, et non en [illegible] voy. p. 246, n. 17.

15 Θέμις, sous-ent. ἐστί. — Εἶναί σοι, qu'il te soit donné de (comm[illegible] s'il y avait, au lieu de εἶναι, ἐξεῖναι).

παραμένειν, ἐκπονοῦντι δὲ μᾶλλον ἡ ῥώμη προσγίγνεσθαι, ἀσκοῦντι δὲ τὰ τοῦ πολέμου κάλλιον σώζεσθαι. ὀρθῶς δὲ ἐπιμελομένῳ καὶ μὴ καταμαλακιζομένῳ μᾶλλον(16) εἰκὸς τὸν οἶκον αὔξεσθαι.»

Σ. «Ἀλλὰ μέχρι μὲν τούτου ἕπομαι,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, ὅτι ἐκπονοῦντα φῂς καὶ ἐπιμελόμενον καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν, ὁποίῳ δὲ πόνῳ χρῇ πρὸς τὴν εὐεξίαν καὶ ῥώμην καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου καὶ ὅπως ἐπιμελεῖ(17) τοῦ περιουσίαν ποιεῖν ὡς καὶ φίλους ἐπωφελεῖν καὶ πόλιν ἐπισχύειν, ταῦτα ἂν ἡδέως» ἔφην ἐγὼ «πυθοίμην.»

5. Ce n'est pas le même personnage que le Pison consul, nommé dans le chapitre précédent et plus bas dans celui-ci. Le gendre de Cicéron était C. Calpurnius Piso Frugi.

6. L'*Albanum* est une colline.

7. *Ἐκείνῳ*, comme *αὐτοῦ* quelques mots auparavant, c'est toujours Pompée.

8 *Ὡς περιεσόμενον* équivaut à: *disant qu'il serait le plus fort* Voy la note 12 du ch. III.

ἀρχὴ τοῦ δήμου ποθήσοντος αὐτόν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας Ἀθηνᾷ Ῥώμης φύλακι(9)· » πομποὺς δὲ παρὰ τῶν φίλων λαβών, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

CHAPITRE XXXII.

Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγώς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα(1) προὔθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα(2) καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων (3) Ἰταλίας. Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διατάγματος τούτου λόγος(4) αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας(5), ἣν Οὐιβῶνα νῦν καλοῦσιν(6), Οὔιβιος, ἀνὴρ ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονώς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ἔπαρχος(7), οἰκίᾳ μὲν οὐκ

---

9. *Ἀθηνᾷ Ῥώμης φύλακι.* Cicéron à Cornificius (*Ad fam.*, XII, 25): « *Minerva nostra, custos urbis . . .* » Cf., dans ses *Lois* (II, XVII, 42): « *Nos, qui illam custodem urbis, omnibus ereptis nostris rebus ac perditis, violari ab impiis passi non sumus, eamque ex nostra domo in ipsius patris domum detulimus.* »

Ch. XXXII.] 1. Plutarque, *Vie de Marcellus* (chap. XXIV): *Τὰ διαγράμματα τῶν ἀρχόντων Ἕλληνες μὲν διατάγματα, Ῥωμαῖοι δὲ ἔδικτα* (edicta) *προσαγορεύουσι.*

2. *Εἴργειν κτλ.* = *ei aqua et igni interdici.*

3. *Πεντακοσίων.* Cicéron (*Ad Attic.*, III, 4): « *Allata est enim nobis* (a Vibone) *rogatio de pernicie mea, in qua quod correctum esse audieramus erat ejusmodi, ut mihi ultra* QUADRINGENTA *millia liceret esse.* »

4. *Ἐλάχιστος . . . λόγος*, « ne feirent compte aucun de ceste deffense. » (Amyot.)

5. Non pas en Lucanie, mais plus au sud, dans le Brutium.

6. « Aujourd'hui encore *Bivona*, mais selon d'autres, *Monte Leone.* » (Dübner.)

7. Ce que Plutarque rapporte ici de Vibius convient fort bien à Sicca, cet ami de Cicéron, dont le nom revient à plusieurs reprises dans ses lettres, notamment dans la IIe et la IVe lettre du IIIe livre à Atticus: « *Itineris nostri causa fuit quod non habebam locum ubi pro meo jure diutius esse possem quam in fundo Sicae;* » cf. la lettre III (du même jour): « *Sed te oro ut ad me Vibonem statim venias.* » Cicéron espérait encore alors pouvoir rester à Vibone. La IVe lettre du même livre, datée « in itinere inter Vibonem et Brundisium mense Aprili », et postérieure de peu aux précédentes, commence ainsi: « *Miseriae nostrae potius velim quam incon-*

ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν(8) ἐπηγγέλλετο· καὶ Γάι[illegible] Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγός, ἀνὴρ ἐν τοῖς μάλιστα Κι[illegible]ρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι Σικελίας(9). Ἐφ' οἷς ἀθ[illegible]μήσας ὥρμησεν ἐπὶ Βρεντέσιον(10), κἀκεῖθεν εἰς Δυρράχιον ἀν[illegible]μῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέρ[illegible] ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. Λέγεται δὲ καί, κατα[illegible]τλεύσαντος εἰς Δυρράχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν, σεισμὸ[illegible]τε τῆς γῆς καὶ σάλου ἅμα γενέσθαι τῆς θαλάσσης(11). Ἀφ[illegible]ὧν σινέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα.

Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ἐπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων ἀεὶ ταῖς πρεσβείαις πρὸς αὐτόν, ὅμως ἀθυμῶν καὶ περίλυπος(12) διῆγε(13) τὰ πολλά, πρὸς τὴν Ἰταλίαν ὥσπερ οἱ δισέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μακρὸς ἄγαν κα[illegible]τατεινὸς ἐτὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐ[illegible] ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε(14). Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐ[illegible]τόν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον(15) ἠρῆσθαι, ῥη[illegible]τορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας(16). Ἀλλ[illegible]ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφήν, ἀποκλίσαι τῆς ψυχῆς κα[illegible]

---

stantiae tribuas, quod a Vibone, quo te arcessebamus, sulato discessimus, allata est eam, etc. (cf la n. 3 du prés. ch.) *Illo quum pervenire non liceret, statim iter Brundisium versus contuli ante diem rogationis ne ei Sicca, apud quem eram, periret.* Il y a lieu de penser que Vibius et Sicca sont deux noms du même personnage. On lit ce dernier nom dans les éditions de Plutarque: *Οὐίβιος Σικελὸς ἀνήρ*. Le mot *Σικελός* n'existe pas dans le manuscrit de Madrid, et il est effectivement parasite. Il est possible qu'il provienne du nom *Sicca* écrit à la marge de quelque exemplaire antique, pour indiquer que le Vibius de Plutarque était le même qui était d'ailleurs connu sous cet autre nom. *Τεκτόνων ἔπαρχος*, en latin *praefectus fabrum*.

8. *Καταγράψειν*, de lui assigner.

9. Cicéron (*Pro Planco* XL, § 95-96). «*Siciliam petivi animo, quae et ipsa erat mihi sicut domus conjuncta et obtinebatur a C. Verrucio, quocum me uno vel maxime . . quum fratris mei collegia tum rei publicae causa sociarat. Vide nunc caliginem temporum illorum! Praetor ille me in Siciliam venire noluit.*»

10. Cicéron (*Pro Planc.*, XL, § 96) «*Tum consilio repente mutato iter a Vibone Brundisium terra petere contendi: nam maritimos cursus praecludebat hiemis magnitudo.*»

11. «Cicéron ne parle nulle part de ce prodige.»

12. Les lettres VIII à XXI du IIIe livre à Atticus témoignent de l'état d'esprit de Cicéron pendant ce temps-là.

13. *Διῆγε*. D'abord à Thessalonique, plus tard à Dyrrachium.

14. Sous-entendu *ἂν γενέσθαι*.

15. *Ἔργον*, «sa principale profession.» (Amyot.)

16. *Ῥητορικῇ . . . . χρείας*, «que de l'éloquence il n'en usoit sinon comme

τὰ τῶν πολλῶν ἐνομόρξασθαι(17) πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτός(18), ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

CHAPITRE XXXIII.

Ὁ δὲ Κλώδιος ἐξελάσας αὐτὸν κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν(1) καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν(2), μηδέν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον(3) εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει Πομπηΐῳ, τῶν δεδιωχημένων αὐτῷ κατὰ τὴν στρατείαν ἔνια σπαράττων(4). Ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν(5), ἐκάκιζεν(6) αὐτὸς ἑαυτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγένετο πράτων κάθοδον αὐτῷ μετὰ τῶν φίλων(7). Ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον(8), εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο(9).

---

d'un util [*outil*] necessaire à qui s'entremet du gouvernement des affaires.» (Amyot.) Comp. au ch. IV: *ὥσπερ ὄργανον ἐξηρτύετο τὸν ῥητορικὸν λόγον.*

17. *Ἡ δόξα δεινή (ἐστι) . . . . ἀποκλύσαι . . . . καὶ ἐνομόρξασθαι.* «L'opinion a grande force à effacer le discours de la raison, ne plus ne moins qu'une teinture, des ames de ceulx qui s'empeschent du gouvernement des affaires publiques (*τοῖς πολιτευομένοις*), et à leur imprimer (*ἐνομόρξασθαι*), etc.» (Amyot.)

18. *Οὕτω . . . ἐκτός, se comporte de telle sorte avec le monde. Τοῖς ἐκτός* est ici le datif, non de *τὰ ἐκτός* mais de *οἱ ἐκτός*. Cf. *Vie de Démosthène*, p. 329, n. 1 du chap. VIII.

Ch. XXXIII.] 1. *Τὴν οἰκίαν*, sa maison à Rome, sur le Palatin.

2. *Καθ' ἡμέραν, tous les jours.* La criée était à recommencer tous les jours, puisque rien ne trouvait jamais acheteur.

3. «*Ἀνειμένον* (d'*ἀνίημι*), qui s'était abandonné, laissé aller à.»

4. *Τῶν δεδιωχημένων . . . . σπαράττων.* Amyot: «En parlant mal de quelques choses qu'il avoit ordonnées du temps qu'il faisoit la guerre (en Asie). — *Δεδιωχημένων* (avec redoublement irrégulier *δε-*, outre l'augment temporel *ω*), forme de la décadence.

5. *Ἐφ' οἷς . . . . ἀδοξῶν* est rendu, sans doute justement, par Amyot: «Dont tout le monde disoit que c'estoit très bien employé» (que c'était bien fait).

6. *Ἐκάκιζεν . . . προέμενος κτλ.* «Et luy se blasmoit grandement soymesme de ce qu'il avoit abandonné Cicéron.» (Amyot.)

7. *Παντοῖος . . . μετὰ τῶν φίλων*, «taschant par tous moyens avec ses amis de le faire rappeler.» (Amyot).

8. Joignez *μηδὲν πρᾶγμα δημόσιον*. Entendez *διὰ μέσου*: *qui se présenterait dans l'intervalle.*

9. Cicéron (*Pro Sestio*, XXXI, § 68): «*Omnia senatus rejiciebat, nisi de me primum consules rettulissent.*»

CHAPITRE XXXIV.

Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους, ἐν οἷς ἀναγραφαὶ τῶν δεδιωκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν (1). *Ἐγκαλοῦντος δὲ περὶ τούτων τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι* (2), *καὶ κύριον οὐδὲν εἴη τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις* (3), *δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι* (4) *καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν* (5). *Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν* (6) *εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.*

CHAPITRE XXXV.

Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων (1)· *καὶ διωκό-*

Ch. XXXIV.] 1. Les archives de l'État, du temps de Cicéron, étaient conservées dans un édifice appelé *Tabularium*, qui était bâti derrière le temple de la Concorde et de Saturne, sur le *clivus Capitolinus*. — Dion Cassius (XXXIX, § 21) dit seulement que Cicéron emporta chez lui les tablettes qui avaient trait à son bannissement, et non point qu'il détruisit toutes les tablettes relatives aux actes de Clodius pendant son tribunat.

2. « Clodius, originaire de la famille patricienne des Claudii, s'était fait adopter par le plébéien P. Fonteius, en vertu d'une *lex curiata* votée sur la proposition de César: de la sorte, devenu plébéien, il put se faire élire tribun (car le tribunat était une magistrature essentiellement plébéienne). C'est la légalité de cette adoption que contestait Cicéron: « *In illa adoptione legitime factum est nihil* » (au chap. XXIX, § 77, du *Pro domo sua*; cf. XIII, § 34).

3. *Τοῖς πεπολιτευμένοις*, l'administration *de Clodius*.

4. *Εἶναι* à l'infinitif, parce que ce n'est pas Plutarque qui fait remarquer que ces actes administratifs de Caton eussent été ainsi compris dans l'annulation, mais parce que Caton lui-même l'avait dit dans son discours au Sénat: *ἐν αἷς* (*ἔφη*) *εἶναι κτλ.*

5. En vertu d'une loi proposée par Clodius, Caton, alors questeur, était parti *cum jure praetorio* pour arranger plusieurs affaires en Orient. Effectivement, il avait fait vendre aux enchères les biens du roi de Chypre Ptolémée, et rapporté à Rome, dit-on, près de 33 millions de notre monnaie, produit de cette opération; et, à Byzance, il avait rétabli dans leur patrie les citoyens bannis à la suite de discordes civiles.

6. *Ἐκ τούτου . . . πρόσκρουσιν*, il en résulta un froissement entre Cicéron et Caton.

Ch. XXXV.] 1. En janvier 52.

τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθείς, ἐνδεέστερος αὑτοῦ φανῆναι(13).

Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγοράν, συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου, κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐπεχόμενος(14), αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀδεῶς παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος(15)· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης(16). Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι(17).

CHAPITRE XXXVI.

Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς αὔγουρας(1) Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου, μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ χιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ(2) καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτα δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄνευ πολέμου, τούς τε Κίλικας ὁρῶν πρὸς(3) τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράυνεν ἡμέρως ἄρχων. Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν(4)· αὐτὸς δὲ τοὺς χαρίεντας(5) ἀνελάμβανε καθ' ἡμέραν

---

13. Se trouvant las d'avoir trop pensé et mal dormi, il parut ce jour-là rester au-dessous de lui-même.

14. Même expression dans la *Vie de Brutus* (chap. XV): *Ἡ τε χρόα μεταβολὴν ἐλάμβανε, καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν* (ἡ *Πορκία*).

15. Voy. la note 6 du chap. IX. — *Μεταβαλεῖν* reçoit ici le même sens que *διήλλαξεν* (voy. la note 6 du chap. XIX).

16. On sait que le plaidoyer *Pro Milone* que publia Cicéron, et qui nous a été conservé, est une œuvre composée à loisir après le procès.

17. *Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος κτλ.* Cette réflexion est assez mal reliée au récit qui précède.

Ch. XXXVI.] 1. En latin: *augures*.

2. *Προσταχθὲν αὐτῷ*, nominatif absolu, revenant pour le sens à: *ayant pour instructions de . . .*

3. *Πρὸς*, à la suite de, en raison de. — *Τὸ Παρθικὸν πταῖσμα*, c'est le désastre de Crassus dans le pays des Parthes.

4. Amyot: «Et il ne receut jamais present quelconque que lon luy envoyast, non pas des princes ny des roys mesmes, et si deschargea (*ἀνῆκεν* = *ἀφῆκεν*) ceulx de sa province des banquets et festins qu'ilz avoient accoustumé de faire aux autres gouverneurs avant luy.»

ἐστιάσεων οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία(6) θηρῶν οὐκ εἶχεν, οὐδ' αὐτὸς ὤφθη καταλείπων ἐπ' οὐδενός, ἀλλ' ἔωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ἐπ' ὀργῆς ἢ ζημίαν προσβαλεῖν μεθ' ὕβρεως. Ἀνεῖρε δὲ πάμπολλα τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις . . . . εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας οὐδὲν πλέον τούτου παθόντας ἐπιτίμους διεφύλαξεν(7).

Ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἄμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ(8) ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Καιλίου δὲ τοῦ ῥήτορος(9) δεομένου παρδάλεις αἰτῇ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· περιενεγέναι γὰρ εἰς Καρίαν ἀγανακτοίσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων(10).

Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τοὺς τε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα(11) θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς Ῥώμην ἐπανῆλθεν(12). Ἤδη τῶν

5. *Χαριέντας* Les personnes de « la société », celles qui ne sont pas du commun. Cf. *Vie de Démosthène*, note 9, p. 356.

6. Cicéron écrit à Atticus (VI, II, 5): « *Cetera jurisdictio nec imperita et clemens cum admirabili facilitate; aditus autem ad me minime provinciales nihil per cubicularium; ante lucem inambulabam domi, ut olim cambulatus* »

7. Cicéron à Atticus (VI, II, 5): « *Mira erant in civitatibus ipsorum furta Graecorum, quae magistratus sui fecerant. Quaesivi ipse de iis qui annis decem proximis magistratum gesserant; aperte fatebantur: itaque sine ulla ignominia suis humeris pecunias populis rettulerunt.* » — Dans la phrase de Plutarque, il semble bien que plusieurs mots sont tombés · « Quum invenisset multos peculatus per provinciam factos, quum 〈iis quae surrepta erant〉 urbes ditavit, tum iis qui ablata redderent, nullo praeterea supplicio affectis, integram famam conservavit » (Traduction Hutten.)

8. *Αὐτοκράτωρ*, en latin « *imperator* ».

9. M Caelius Rufus, jeune ami de Cicéron, et lui aussi grand orateur. M. Boissier lui a consacré un chapitre entier (*Caelius: la jeunesse romaine au temps de César*) dans le livre de *Cicéron et ses amis*.

10. Voyez la onzième lettre du deuxième livre de Cicéron *ad familiares* datée et adressée ainsi: « *Scr. in provincia pridie Nonas Apriles a. U. C. 704.* M. CICERO IMP. S. D. M. CAELIO AEDILI CUR. », dont voici le passage traduit par Plutarque « *De pantheris, per eos qui venari solent quaetur mandatu meo diligenter, sed mira paucitas est, et eas quae sunt valde aranti pueri, quod nihil cuiquam insidiarum in mea provincia, nisi sibi, fiat itaque constituisse dicuntur in Cariam ex nostra provincia decedere* »

11. *Τὰ πρέποντα*. « Expression adverbiale: comme il convenait, comme il le méritait. »

πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον(13).

CHAPITRE XXXVII.

Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων(1) αὐτῷ θρίαμβον, ἴδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι συμβάσεων γενομένων(2)· ἰδίᾳ δὲ συνεβούλευσε πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ(3) Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα(4), καὶ, Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι(5). Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ἐλπιασθεὶς ἐπ' ἀμφότερα καὶ διστάσας(6). Γράφει γὰρ ἐν ταῖς Ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τραπέσθαι, · Πομπηΐου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸ πολεμεῖν ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς

---

12. Εἰς Ῥώμην ἐπανῆλθεν, le 4 janvier 49.

13. Cicéron (*Ad familiar.*, XVI, XI, 2): «*Sed incidi in ipsam flammam civilis discordiae vel potius belli, cui cum cuperem mederi,*» etc. Plutarque semble avoir compris *flammam* comme s'il y avait *inflammationem*, une tumeur. Coraï, qui fut à la fois helléniste et médecin, explique en ces termes la métaphore ici employée: Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἰατρικῆς τέχνης· καθ' ἣν τὰ φλεγμήναντα μέρη ἀφίσταται, τουτέστιν ἀνεγείρεται τῆς ἐπιφανείας τοῦ σώματος, καὶ ὄγκους ποιεῖ τοὺς καλουμένους διὰ τοῦτο ἀποστήματα.

Ch. XXXVII.] 1. Ψηφιζομένων, sous-entendu τῶν βουλευτῶν, dont l'idée est éveillée par ἐν τῇ βουλῇ.

2. Συμβάσεων γενομένων. Amyot: «Que plus vouluntiers il suivroit le chariot triumphant de Cæsar, *y ayant un bon accord fait entre eulx,*» c'est-à-dire entre César et Pompée.

3. Αὐτοῦ, c'est-à-dire en lui parlant à lui-même (puisque Pompée, lui, était à Rome).

4. Amyot paraphrase ainsi ὡς δ' ἦν ἀνήκεστα: «Mais le mal estant si incurable qu'il n'y avoit plus ordre ne moyen de les pouvoir accorder.»

5. Le vrai est que Cicéron ne se trouvait pas alors à Rome, mais en Campanie, région qui lui était échue lorsqu'on avait fait, à l'approche de César, le partage des diverses parties de l'Italie pour les défendre contre lui.

6. Διστάσας. Cicéron (*Ad famil.*, VII, III, 1): «*Quo tempore vidisti profecto, me quoque ita conturbatum ut non explicarem quid esset optumum factu.*»

ὃν φύγῃ(7). Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράμματος ἐπιστολήν, ὅτι(8) Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι(9) μεθ' αὑτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναβαδίζεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς Ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι(10).

CHAPITRE XXXVIII.

Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος(1), εὐθὺς πρὸς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδίᾳ πολλὰ κατεμέμψατο Πομπηΐῳ προσθέμενον· αὑτῷ(2) μὲν γὰρ οὐ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα(3) τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ(4) πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτοι μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. Οὗτοι δὲ

---

7. Ἔχειν κτλ. « *Ego vero quem fugiam habeo, quem sequar non habeo.* » (Cicér., *Ad Attic.*, VIII, VII, 2.)

8. Ὅτι, *lui disant* que.

9. Ἐξετάζεσθαι μεθ' αὑτοῦ, se ranger avec lui.

10. La correspondance de Cicéron avec C. Trebatius Testa, le célèbre jurisconsulte, remplit le VIIe livre des *Lettres familières*; mais, telle qu'elle nous a été conservée, on n'y trouve point ce que dit ici Plutarque. On trouve seulement quelque chose d'approchant, savoir ce qui suit dans la XVIIe lettre du VIIe livre de Cicéron à Atticus: « *Trebatius quidem scribit se ab illo IX Kal. Febr. rogatum esse ut scriberet ad me, ut essem ad urbem; nihil ei me gratius facere posse . . . Rescripsi ad Trebatium (nam ad ipsum Caesarem, qui mihi nihil scripsisset, nolui), quam illud hoc tempore esset difficile, me tamen in praediis meis esse neque delectum ullum neque negotium suscepisse.* » — D'autre part nous avons encore (*ad Attic.*, X, VIII B) le texte d'une lettre écrite par César lui-même à Cicéron, à la date du 15 des calendes de mai, *ex itinere*, lettre dans laquelle il l'engage à rester neutre, *abesse a civilibus controversiis*, comme il convient *viro bono et quieto et bono civi*.

Ch. XXXVIII.] 1. Ἀπάραντος, vers le milieu d'avril 49. Cicéron partit vers le 10 juin pour la Grèce, où se trouvait alors Pompée.

2. Αὑτῷ, à lui-même, lui, Caton. Ἐκεῖνον, Cicéron.

3. Ὄντα, et plus haut ἐχεῖν, répondent à l'imparfait du discours direct, d'où le sens de « Il n'eût pas été honnête de la part de Caton » et « Cicéron eût été plus utile. »

4. Ἐκεῖ, à Rome.

τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην(5), καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον(6). Αἴτιος δ' ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι(7), φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν καὶ πρὸς τὰ βουλεύματα δυσχεραίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν ἀεὶ χαρίεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος(8), ἀλλ' αὐτὸς μὲν ἀγελαστος ἀεὶ περιϊὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπός(9), ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι.

Δομιτίου(10) τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, « Ἀλλ' οὖν» εἶπεν «οὐκ ἐπίτροπον αὐτὸν τοις τέκνοις φυλάσσεις;»

Ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον(11), ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος(12), ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας(13), «Ἕλικον» εἶπεν «ἀγαθόν ἐστι Ἰραικὸν ἔχειν ἔπαρχον.»

Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα καὶ τρόπον(14) τινὰ πολεμοῦντος αὐτούς, Λέντλῳ(15) μὲν εἰπόντι πυνθάνεσθαι στυγοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο «Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι(16);»

Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ καὶ λέγοντος ἐν

---

5. Construisez τὴν γνώμην τοῦ Κικέρωνος.

6. Καὶ τὸ μέγα .... Πομπήϊον. Amyot: «Avec ce que Pompeius ne se servoit de luy *en* nulle chose de consequence.»

7. Μεταμέλεσθαι. Cicéron (*Ad familiar.*, VII, III, 2): «*Cujus me mei facti quae poenituit, non tam propter periculum meum quam propter vitia multa ibi offendi, quo veneram ... Nihil boni praeter causam.*» Le mot suivant de lui a été conservé chez Macrobe (*Saturnales*, II, III, 7): «Cum ad Pompeium venisset, dicentibus sero eum venisse respondit: *Minime sero veni, nam nihil hic paratum video.*»

8. Καὶ τοῦ παρασκώπτειν ... οὐκ ἀπεγόμενος. Amyot: «Et si ne se pouvoit pas tenir de laisser eschapper tousjours quelque mot de risée et de mocqnerie encontre ceulx de son party.»

9. Cicéron (*IIe Philippique*, XVI, § 39—40): «*Ne jocis quidem respondebo, quibus me in castris usum esse dixisti ... Quod autem idem maestitiam meam reprehendit, idem jocum, magno argumento est me in utroque fuisse moderatum.*»

10. «L. Domitius Ænobarbus, que César avait assiégé dans la ville de Corfinium et qu'il avait laissé libre après la prise de cette place.»

11. Théophane de Mytilène, historien ami de Pompée (voy., sur lui, Cicéron, *Pro Archia*, X, § 24).

12. Τεκτόνων ἔπαρχος. Voy. la fin de la note 7 du ch. XXXII.

13. «Une tempête avait détruit les navires des Rhodiens, envoyés par ordre de Pompée contre César, pour protéger Dyrrachium.»

14. L. Cornelius Lentulus Crus, consul de cette année.

15. Où est le piquant de ce mot? Wyttenbach croit qu'il faut lire σύνους et συνοεῖν.

Ῥώμῃ φήμην ἐκκρατεῖν ὡς πολιορκοῖτο Πομπήϊος. « Εἰ δ' ἔπλεισας » εἶπεν « ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος; »

Μετὰ δὲ τὴν ἧτταν(16), Νουνίου μὲν εἰπόντος ὅτι δεῖ χρησθαι ἐλπίδας ἔχειν, ἕλκὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηίου λελεῖφθαι, « Καλῶς ἄν » ἔφη « παρῆνεις, εἰ κολοιοὺς ἐποιοῦμεν. »

Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου καὶ λέγοντος δεῖ περιγενέσθαι Πομπηίου, « Οἰκοῦν » ἔφη « στρατιώτῃ τοιούτῳ χρώμενοι, νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον(17). »

CHAPITRE XXXIX.

Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης(1), ἧς οὐ μετέσχε δι' ἀρρωστίαν, καὶ Πομπηίου φυγόντος, ὁ μὲν Κάτων, καὶ στράτευμα σιχνὸν ἐν Δυρραχίῳ καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον(2) ἠξίου στρατηγεῖν κατὰ νόμον ὡς τῷ τῆς ὑπατείας ἀξιώματι προῆκοντα. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων καὶ ὕλης φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι(3). Πομπηίου τοῦ νέου(4) καὶ τῶν φίλων προδότην ἀποκαλούντων καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς(5) μόλις ἀφείλετο καὶ διέσωσεν αὐτὸν ἐκ τοῦ στρατοπέδου.

Καταχθεὶς δ' εἰς Βρεντέσιον ἐνταῦθα διέτριβε, Καίσαρα προσμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα καθορμισμένος ἀπηγγέλλετο καὶ πεζῇ περιῶν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτόν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν(6). Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ

---

16. Ἧτταν, la défaite de Pharsale

17. Il s'agit sans doute de quelque défaite antérieure, ou bien ce récit manquerait d'authenticité. Car, d'une part, Cicéron n'assista pas à la bataille de Pharsale, comme Plutarque va le dire, et, d'autre part, Labiénus y périt

Ch. XXXIX.] 1. Le 9 août 48.

2. Ἐκεῖνον, Cicéron.

3. On dirait à peu près de même en français : Il ne tint à rien qu'il ne pérît.

4. Cn. Pompée, le fils aîné du grand Pompée.

5. Ἐνστάς. Voy. la note 13 du ch. XXI.

6. Amyot : « Toutefois il ne fut point contraint (οὐκ ἐδέησεν αὐτῷ) de faire ne de dire chose aucune derogante à sa dignité (παρ' ἀξίαν). »

τῶν ἄλλων ἁπάντων, κατέβη(7) καὶ ἠσπάσατο καὶ διαλεγόμ
μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν.

Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε
γράψαντι λόγον ἐγκώμιον(8) Κάτωνος ἀντιγράφων τόν τε λ
αὐτοῦ(9) καὶ τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότ
καὶ Θηραμένους ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος Κά
δὲ Καίσαρος Ἀντικάτων ἐπιγέγραπται.

Λέγεται δὲ καί, Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι
Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοη
θος (11), εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· « Τί κωλύε
χρόνου(12) Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι γε κέκ
πονηρὸς ἄνθρωπος(13) καὶ πολέμιος; » Ἐπεὶ δ' ἀρξάμενος λ
ὁ Κικέρων ὑπερφυῶς ἐκίνει (14), καὶ προὔβαινεν αὐτῷ πάθ
ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἰέναι (15) χ
ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπ
τροπὰς κατάδηλον εἶναι· τέλος δέ, τῶν κατὰ Φάρ
ἁλισκομένου τοῦ ῥήτορος ἀγώνων(16), ἐκπαγῆ γενόμενον ὑπαγ
τῷ σώματι καὶ τῆς χειρὸς ἐκβαλεῖν(17) ἔνια τῶν γραμματ
Τὸν δ' οὖν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

CHAPITRE XL.

Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστ

---

7. Κατέβη, descendit de cheval.
8. Λόγος ἐγκώμιος, éloge. Λόγος ici, et de même deux lignes plu
dire *livre, ouvrage.*
9. Τὸν λόγον αὐτοῦ, l'*éloquence* de Cicéron.
10. Ἐοικότα se rapporte, grammaticalement, à τὸν βίον seulement;
faut l'entendre comme s'il y avait ἐοικότας, se rapportant et à τ
et à τὸν βίον. — César comparait sans doute la vie de Cicéron à
Théramène, son éloquence à celle de Périclès.
11. « Théramène, du temps des trente tyrans à Athènes, était un
d'Etat de grand mérite, mais taxé de versatilité politique et surn
r cela, par les Athéniens, κόθορνος, cothurne, chaussure qu'on
indifféremment au pied droit ou au pied gauche. Comme on l
ment, la comparaison n'était pas sans malice. »
12. Διὰ χρόνου, « (Cicéron) qu'il y a longtemps que nous n'ouys
nyot.)
13. Ἄνθρωπος (= ὁ ἄνθρωπος), Ligarius.
14. Ὑπερφυῶς ἐκίνει, entendez τὸν Καίσαρα.
15. Ἰέναι (non ἴέναι), de ἵημι (non de εἶμι).
16. Voy., en effet, dans les œuvres de Cicéron, le discours *Pro Li*
§ 28, non loin de la fin du plaidoyer.
17. Ἐκβάλλειν, laisser tomber.

ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτοις καὶ πρώτοις ὄντας, αἰθις ἴσχυσεν ἐν τῇ πόλει μέγιστον.

Αὐτῷ δ' ἔργον μὲν ἦν τότε φιλοσόφοις συντελεῖν διαλόγοις(1) καὶ μεταφράζειν τοὺς Πλάτωνος(2), καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς τὴν Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον· ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν ἐποχὴν καὶ τὴν συγκατάθεσιν καὶ τὴν κατάληψιν, ἔτι δὲ τὴν ἄτομον, τὸ κενόν(3), καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις(4) γνώριμα καὶ προσήγορα μιχανησάμενος(5).

Τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γὰρ ὀπτικὰ ῥεῖν πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔτι ποιεῖν πεντακόσια.

Τὸν μὲν οὖν πλεῖστον(6) τοῦ χρόνου τοῦτον περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ(7) διάγων, ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν(8), εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀδημονῶν τοῖς καθεστῶσι.

Ch. XL.] 1. Les *Académiques* et le *De finibus bonorum et malorum*, par exemple, sont de cette période de la vie de Cicéron. — Συντελεῖν ne peut se traduire ici que par *composer*, ce qui n'est pas le sens ordinaire de ce mot.

2. Notamment le *Timée* Voy, dans les Fragments de Cicéron, les pages qui nous restent de cette traduction, qui a été faite postérieurement à la composition des *Académiques*. Cicéron avait aussi traduit le *Protagoras*, il reste huit ou dix lignes de ce travail, citées par des grammairiens.

3. Il a rendu *φαντασία* par *visum*, *ἐποχή* par *assensionis retentio*, *συγκατάθεσις* par *assensio atque approbatio*, *κατάληψις* par *comprehensio*, τὸ *ἄτομον* et τὸ *κενὸν* par *corpora individua*, τὸ *κενον* par *inane*.

4. Ἢ οἰκειότησιν ἄλλαις. Hellénisme qui revient à ceci: *ou, autrement, par des termes propres*. Les mots suivants se traduisent mot à mot. *arrangeant les mots* (*μιχανησάμενος*) *reconnaissables* (*γνώριμα*) *et bien reçus* (*προσήγορα*). C'est-à dire, sont en se servant de métaphores, soit en prenant des termes au propre, trouvant pour ces mots grecs des équivalents qui se laissassent entendre et se fissent accepter.

5. Ch. Thurot (*Revue de philologie*, 1877, p. 86) «On sait que les ouvrages de Cicéron sur la rhétorique et la philosophie sont souvent difficiles à entendre, parce que Cicéron a rendu des termes techniques, qui avaient un sens rigoureusement défini chez les rhéteurs et les philosophes grecs, par des équivalents qu'il a tirés du langage ordinaire des Latins, et qui paraissent fort vagues, si l'on ne se reporte pas aux mots grecs qu'il a voulu traduire.»

6. *Τὸν πλεῖστον τοῦ χρόνου*, la plupart du temps.

7. Dans sa propriété de Tusculum (à 5 lieues de Rome).

8. *Λαέρτου βίον ζῆν*. Laërte, père d'Ulysse, vivait dans les champs, loin du palais, qui était livré aux prétendants de Pénélope. Lisez le chant XXIV de l'*Odyssée*, vers 205 et suivants.

Σπάνιον δ' εἰς ἄστυ, θεραπείας ἕνεκα τοῦ Καίσαρος, κατῆει(9), καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς(10) καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀναστα θῆναι. Ἔφη γὰρ ὁ Κικέρων ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.

CHAPITRE XLI.

Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα τρέψαι(1), πολλοῖς μὲν ἰδίοις, πολλοῖς δὲ δημοσίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ τὰ πλεῖστα συμβῆναι. Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. Αὐτὴ μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον(2), ἐρχομένῃ δὲ τῇ θυγατρί, παιδίσκῃ νέᾳ(3), τοσαύτην ὁδὸν οὐ πομπὴν πρέπουσαν(4), οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέ-

---

9. Tusculum était bâti sur une colline: la villa de Cicéron était située à mi-côte.

10. *Ταῖς τιμαῖς*, les honneurs (qui étaient décernés à César).

Ch. XLI.] 1. Cicéron fait allusion, au début de son traité *De Legibus*, au projet d'écrire l'histoire romaine; mais ce qu'on lit en cet endroit s'accorde guère avec l'intention que lui attribue ici Plutarque d'entremêler son récit d'anecdotes et de légendes de toutes sortes. « *Intelligo te, frater, alias in historia leges observandas putare, alias in poëmate* (dit Quintus). — *Quippe quum in illa ad veritatem cuncta referantur, in hoc ad delectationem pleraque* (répond Cicéron). *Quanquam et apud Herodotum patrem historiae, et apud Theopompum sunt innumerabiles fabulae.* » Ces derniers mots auraient-ils été mal compris?

2. *Διατρίβοντος . . . χρόνον.* Ces mots prouvent qu'il s'agit du troisième débarquement de Cicéron à Brindes, c'est-à-dire après Pharsale.

3. *Παιδίσκῃ νέᾳ.* Tullia n'était plus alors (voy. la note précédente) une si jeune enfant que Plutarque veut bien dire, puisqu'elle était déjà veuve d'un premier mari, divorcée d'un second, et remariée en troisièmes noces avec P. Cornelius Lentulus Dolabella. — Tullia était aussi venue au-devant de son père à Brindes, lorsque celui-ci arrivait d'exil. Cette fois-là, il n'avait point séjourné à Brindes. Tullia alors venait de perdre son premier mari; elle avait dix-neuf ans.

4. *Πρέπουσαν* tombe sur *χορηγίαν* aussi bien que sur *πομπήν*.

δεῖξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις(5). Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται τροφάσεις.

Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος μετ' οὐ πολὺν χρόνον γήμας παρθένον(6), ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς πλουσία σφόδρα, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς(7) διεφύλλαττεν. Ὀφείλων δὲ πολλὰς μυριάδας(8) ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν(9) καὶ τοὺς δανειστὰς ἀπαλλάξαι(10) τοῖς ἐκείνης χρησάμενος. Ἀντώνιος δέ, τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν φησιν αὐτὸν γυναῖκα παρ' ἣν ἐγήρασε, χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος(11).

Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε(12) τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου(13) ἀνδρὸς τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φίλοι(14)· βαρέως γ

5. Ἐπὶ πολλοῖς ὀφλήμασι, tout en ayant contracté, au nom de Cicéron, de nombreuses dettes.

6. « Une jeune et belle patricienne, Publilia. »

7. D'après la loi *Voconia*, de l'an 169 avant J.-C., le possesseur d'une fortune estimée, lors du dernier cens, à 100 000 as au moins, ne pouvait instituer héritière universelle une femme ou une fille : ainsi un père riche ne pouvait léguer que la moitié seulement de sa fortune à sa propre fille. Pour éluder cette loi, le père de Publilia avait désigné nominativement Cicéron, en lui donnant sa fille en mariage, pour son héritier, mais sous la promesse de celui-ci de restituer cet héritage à Publilia. Un legs de cette nature s'appelle un fidéicommis. *Heres fiduciarius* est le nom que les Romains donnaient à un tel héritier apparent ; c'est cette expression que Plutarque rend par ἐν πίστει κληρονόμος.

8. Πολλὰς μυριάδας, sous-entendu δραχμῶν.

9. Παρ' ἡλικίαν, « encore qu'il fust hors d'aage pour elle. » (Amyot.)

10. Τοὺς δανειστὰς ἀπαλλάξαι, se débarrasser de ses créanciers.

11. Amyot, en s'écartant de la construction du grec, traduit très fidèlement : « Se mocquant aussi plaisamment en passant (ἅμα) de ce qu'il avoit esté homme oiseux (ἀπράκτου), qui ne s'estoit jamais party de sa maison (οἰκουρίαν) ny n'avoit esté en guerre (ἀστρατεύτου) pour faire service à la chose publique » (ces derniers mots ajoutés à l'original).

12. En février 45.

13. Son *précédent* mari (προτέρου) était Crassipes, d'avec qui elle divorça. Pison fut son *premier* mari. Tout cet endroit de Plutarque est plein d'erreurs : ainsi ce n'est point chez Lentulus Dolabella, de qui elle avait dû aussi se séparer, mais dans la maison de campagne de son propre père, à Tusculum, qu'elle mourut de suites de couches.

14. La lettre que son vieil ami Sulpicius, le grand jurisconsulte, lui

ἄγαν ἤνεγκε τὸ συμβεβηκός, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμπεσθαι δόξασαν ἡσθῆναι(15) τῇ τελευτῇ τῆς Τουλλίας(16).

CHAPITRE XLII.

Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. Τῆς δ' ἐπὶ Καίσαρι συνισταμένης πράξεως(1) οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου(2) καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. Ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον(3), ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. Ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον(4) καί, τῶν Καίσαρος φίλων συνισταμένων ἐπὶ τοὺς ἄνδρας(5), αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν, Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δέ, πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθών, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίους μιμησαμένην(6), ἀμνη-

---

écrivit dans cette circonstance, de Grèce, dont il était alors gouverneur, est conservée dans le recueil de la correspondance de Cicéron (*Ad famil.*, IV, v). C'est un morceau classique qu'il faut connaître.

15. Ἡσθῆναι, *ressentir de la joie*. Le présent ἥδεσθαι veut dire *être joyeux*, exprimant un état qui dure; ἡσθῆναι est ici un aoriste dit *inchoatif*, marquant une action qui se produit à un moment donné.

16. Sur Terentia, Tullia, la fortune de Cicéron et ses esclaves, surtout Tiron, lisez le chapitre intitulé *La vie privée de Cicéron* dans le livre de M. G. Boissier, *Cicéron et ses amis*.

Ch. XLII.] 1. Τῆς . . . πράξεως, « la conjuration à l'encontre de César. » (Amyot.)

2. Βρούτου. « La liaison de Cicéron et de Brutus dura dix ans. Le recueil des lettres qu'ils s'écrivirent dans cet intervalle devait être volumineux, puisqu'un grammairien en cite le neuvième livre. Elles sont toutes perdues, à l'exception de vingt-cinq, qui ont été écrites après la mort de César . . . Brutus tient une grande place dans les ouvrages qui nous restent de Cicéron. » (Boissier.) M. Boissier, dans *Cicéron et ses amis*, a consacré aux relations de Brutus avec Cicéron tout un chapitre, qui est à lire.

3. Τὸν χρόνον. « Son âge. Cicéron avait 63 ans. »

4. Τὸ ἔργον, c'est-à-dire l'assassinat de César.

5. Τοὺς ἄνδρας, ce sont les meurtriers.

6. Qui, après que Thrasybule eut chassé les Trente tyrans, en 403-402 avant J.-C., avaient décrété une amnistie générale, la première dont l'histoire fasse mention. Dans les premières lignes de la *Ire Philippique*, Cicéron, faisant allusion à ce précédent discours (qui est perdu) dit: « *Quantum in me fuit, jeci fundamenta pacis Atheniensiumque renovavi vetus exemplum: Graecum etiam verbum (ἀμνηστίαν) usurpavi, quo tum in sedandis discordiis usa erat civitas illa, atque omnem memoriam discordiarum oblivione sempiterna delendam censui.* »

στίαν τῶν ἐπὶ Καίσαρι(7) *ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Βροῦτον καὶ Βροῦτον ἐπαρχίας. Ἔσχε δὲ τούτων τέλος οὐδέν. Ὁ γὰρ δῆμος αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθείς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς*(8) *αἵματος κατάπλεων καὶ κεκομμένην λάπαι τοῖς ξίφεσιν, ἐμμανέντες ἐμ' ὀργῆς ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν*(9)*, καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον ὡς ἐμφάψοντες. Οἱ δὲ τοῦτον τῷ προλαφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέροις δὲ πολλοῖς καὶ μεγάλοις*(10) *προσδοκῶντες ἐξέλιπον τὴν πόλιν.*

CHAPITRE XLIII.

Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φανερὸς εἰς μοναρχίαν(1)*, τῷ δὲ Κικέρωνι φοβερώτατος. Ἀναρρωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βροῦτον ἐπιτίδειον εἰδώς*(2)*, ἤχθετο παρόντι*(3)*. Καί τι καὶ προὐλήφθη λοιδορίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ*(4) *τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. Ταῦτα δὴ δείσας ὁ Κικέρων πρῶτον μὲν ὥρμησε πρεσβευτὰς Δολοβέλλᾳ συνεκπλεῖσαι εἰς Συρίαν· ἐπεὶ δ' οἱ μέλλοντες ἐπατείειν μετ' Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, ἀναδεχόμενοι καταλύσειν τὸν Ἀντώνιον ἐκεῖνον παρόντος, ὁ δ', οὔτ' ἀπιστῶν παντάπασιν οὔτε πιστεύων, Δολοβέλλαν μὲν εἴασε χαίρειν*(5)*, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχήν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν*(6) *ἐξέπλευσε.*

Γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς(7)*, καὶ λόγων ἀπὸ*

---

7. *Τῶν ἐπὶ Καίσαρι.* Cf. la note 1 du présent chapitre.

8. *Αὐτοῖς*, à eux, *au peuple*. La phrase suit des lors avec les verbes au pluriel, *ἐμμανέντες ἐποιοῦντο*, etc.

9. *Ζήτησιν . . τῶν ἀνδρῶν* « Cherchans par la place s'ilz trouveroient aucuns de ceulx qui l'avoient tue » (Amyot).

10. *Ἑτέροις . .* s.-entendu *κινδύνοις*.

Ch. XLIII] 1. *Ἦν φανερὸς εἰς μοναρχίαν*. Hellénisme connu, égal a *φανερὸν ἦν ὅτι μοναρχήσει*.

2. *Ἐκεῖνος* sous-entendu *αὐτοῦ*, Cicéron.

3. *Παρόντι* donne le même sens que *διὰ τὸ παρεῖναι*.

4. *Κατά*, en raison de.

5. « *Εἰς χαίρειν*, comme en latin *valere jubeo*, dire adieu, abandonner. »

6. *Ἐφ' ἑαυτὸν, καθ' ἑαυτὸν*, à part lui, tout seul.

7. *Γενομένης . . διατριβῆς*. Par suite de vents contraires.

Ῥώμης, οἷα φιλεῖ(8), καινῶν προσπεσόντων, μεταβεβλῆσθαι(9) μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον(10), ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν(11), καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεψεν αὖθις εἰς Ῥώμην. Καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτο πλῆθος ἀνθρώπων ὑπὸ χαρᾶς καὶ πόθου πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνάλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι.

Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου καὶ καλοῦντος αὐτὸν οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. Ἐδόκει δὲ τἀληθὲς(12) ἐπιβουλῆς εἶναι φόβος ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν, αὐτὸν ἄγειν ἢ καταπρῆσαι(13) τὴν οἰκίαν κελεύσας· ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. Καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλατόμενοι διετέλουν(14), ἄχρι οὗ Καῖσαρ ὁ νέος, ἐξ Ἀπολλωνίας παραγενόμενος(15), τόν τε κλῆρον ἀνεδέξατο(16) τοῦ Καίσαρος ἐκείνου(17) καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων(18), ἃς

---

8. *Οἷα φιλεῖ, ut (fieri) assolet.*

9. *Μεταβεβλῆσθαι.* Devant ce mot sous-entendez: (nouvelles, *λόγων καινῶν*) *portant, disant* que.

10. *Πρὸς τὴν σύγκλητον*, selon les vues du sénat.

11. *Ἐνδεῖν . . . διάθεσιν.* Amyot: « Et qu'il ne tenoit plus qu'à sa presence que toutes les choses n'allassent bien. » Remarquez l'emploi de la négation en grec comme en français dans cette tournure, laquelle revient pour le sens à ceci: Il manquait, pour que tout allât bien, que Cicéron fût présent.

12. *Τἀληθές*, crase pour *τὸ ἀληθές*.

13. *Καταπρῆσαι*, mettre le feu à (sens inchoatif de l'aoriste). — Plutarque altère un peu les termes. Cicéron lui-même, dans sa *Ire Philippique*, (v, § 11-12): « *Quid tandem erat causae cur in senatum hesterno die acerbe cogerer? . . . Ita sine cura consules sunt, ut paene liberum sit senatori non adesse. Qui quum mihi mos notus esset quumque e via languerem et mihimet displicerem, misi pro amicitia qui hoc ei diceret. At ille vobis audientibus cum fabris se domum meam venturum esse dixit . . . Se publicis operis disturbaturum publice ex senatus sententia aedificatam domum! Quis autem unquam tanto damno senatorem coëgit? aut quid est ultra pignus* (cf. ci-après *ἐνέχυρα λαβών*) *aut mulctam?* »

14. *Ἀντιπαρεξιόντες ἀτρέμα διετέλουν* est fort bien rendu par Amyot: « Ils continuerent à s'entreharceler tout doulcement. »

15. « Octavianus (ou, comme on dit ordinairement, Octave), fils adoptif de César, plus tard Auguste. Il étudiait à Apollonie, ville de l'Illyrie. »

16. *Τὸν κλῆρον ἀνεδέξατο*, se porta pour héritier.

17. *Τοῦ Καίσαρος ἐκείνου*, c'est-à-dire de feu Jules César.

18. 25 millions de *drachmes*, faisant 4167 talents athéniens. (Dans la

Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν(19), εἰς διαφορὰν κατέσ
αὐτόν.

CHAPITRE XLIV.

Ἐκ δὲ τούτου Φίλιππος, ὁ τὴν μητέρα τοῦ νέου Κ
ἔχων(1), καὶ Μάρκελλος, ὁ τὴν ἀδελφήν(2), ἀφικόμενοι μ
νεανίσκων πρὸς Κικέρωνα συνέβαντο, Κικέρωνι μὲν ἐκεί
ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν ἐν τε τῇ βουλῇ
δίμοιρ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτ
τῶν ὅπλων ἀσφάλειαν. Ἤδη γὰρ οὐκ ὀλίγοις τῶν ἐπὶ
στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον.

Ἐδόκει δὲ καὶ μείζων τις αἰτία γεγονέναι τοῦ τὸν Κικέρ
ξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. Ἔτι γάρ, ὡς ἔοι
Πομπηίου ζῶντος καὶ Καίσαρος(3), ἔδοξε κατὰ τοὺς ἑτ
Κικέρων καλεῖν τινα τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τ
παιδόλιον, ὡς(4) μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδε
τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ἐπὶ σπουδῇ θέοντα
σθαι περὶ τὸν νεὼν καὶ τοὺς παῖδας ἐν ταῖς περιπορφ
καθέζεσθαι σιωπὴν ἔχοντας. Ἐξαίφνης δὲ τῶν θηρίων ἀν
σῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κίχλῳ παρὰ τὸ
παραπορεύεσθαι, τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπ
ἀχθομένους. Ὡς δ' οὗτος(5) ἦν προσὼν κατ' αὐτόν(7), ἐ
τὴν δεξιὰν αὐτῷ καὶ εἰπεῖν «Ὦ Ῥωμαῖοι(8), πέρας ἡμῖν ἐμ
πολέμων οὗτος ἡγεμὼν γενόμενος(9).» Τοιοῦτό φασιν ἐ

Vie d'Antoine, Plutarque dit, en chiffres ronds, 4000 talents) so
leur de la drachme, voy. la note 10 du ch III.

19. « A la mort de César, sa femme avait remis sa fortune à
Antoine. »

Ch XLIV.] 1. Attia, mère d'Octave et nièce de Jules Cés
épousé en secondes noces L. Marcius Philippus.

2 M. Claudius Marcellus Æserninus, mari d'Octavie, sœur d'Oc
père du jeune Marcellus, désigné par Auguste pour être son su
et dont la mort prématurée fut pleurée par Virgile dans l'épisode
du VIe livre de l'*Enéide*. *Tu Marcellus eris* (à partir du vers 86

3. *Du vivant de César et de Pompée*, bien que ζῶντος ne se
grammaticalement qu'à Πομπηίου seulement

4. Ὡς. Cf. la n. 15 du ch III.

5. Περιπορφύρους. Voyez la note 6 du ch XIX.

6. Οὗτος. Octave.

7. Ἦν κατ' αὐτόν, fut devant lui.

8 Ὦ Ῥωμαῖοι, . . . οὗτος ἡγεμὼν γενόμενος. Amyot. « Seigne
mains, cest [= *cet* enfant icy est celui qui mettra fin a vos gu
viles quand il sera votre chef »

9. « Suetone et Dion Cassius attribuent ce songe, ou plutôt u

ἰδόντα τὸν Κικέρωνα τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' οὐκ ἐπίστασθαι(10). Μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον(11) αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ πυνθάνεσθαι(12), τίνων εἴη γονέων. Ἦν δὲ πατρὸς μὲν Ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρός, ἀδελφιδῆς Καίσαρος(13). Ὅθεν Καῖσαρ αὐτῷ, παῖδας οὐκ ἔχων ἰδίους, καὶ τὴν οὐσίαν καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας· καὶ γὰρ ἐκ τύχης αὐτὸν γεγονέναι(14) συμβεβήκει Κικέρωνος ὑπατεύοντος.

CHAPITRE XLV.

Αὗται μὲν οὖν ἴσως προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις, ἥττων μὲν ἁπάσης τιμῆς(1), προσεποίησε Καίσαρι νομίζοντα προσλαμβάνειν πολιτείᾳ τὴν ἐκείνου δύναμιν. Οὕτω γὰρ ὑπῆει(2) τὸ μειράκιον αὐτόν, ὥστε καὶ πατέρα προσαγορεύειν. Ἐφ' ᾧ(3) σφόδρα βοῶντος ἀγανακτῶν ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς(4) καθήκει

---

analogue, à Quintus Catulus. Le premier de ces auteurs rapporte ainsi celui de Cicéron: « *Puerum facie liberali, demissum caelo catena aurea, ad pedes Capitolii constitisse, eique Jovem flagellum tradidisse. Deinde repente augusto viso . . . affirmavit* (Cicero) *ipsum esse cujus imago secundum quietem sibi observata sit.* »

10. Amyot: « Qu'il imprima (ἐκμεμάχθαι) bien fermement en sa mémoire (καὶ κατέχειν ἐναργῶς) la forme du visage (τὴν ἰδέαν) de l'enfant, mais il ne le cognoissoit point » (αὐτὸν δὲ οὐκ ἐπίστασθαι).

11. Τὸ πεδίον τὸ Ἄρειον, *campus Martius.*

